www.tezaurliturgic.ro

+

# ΟΚΤΩΗΧΟΙ ΚΑΝΟΝΕΣ

## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ & ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΑΝΤΩΝΙΟΝ ΤΟΝ ΜΕΓΑΝ,

## ΤΟΝ ΚΑΘΗΓΗΤΗΝ ΤΗΣ ΕΡΗΜΟΥ

* * *

Συνετέθησαν ἐν ῾Αγίῳ ῎Ορει τοῦ ῎Αθωνος

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**ΗΧΟΣ Β'.**

**Κανὼν δεύτερος, οὗ ἡ ἀκροστιχίς:**
*"Δευτέρα αὕτη τῶν ᾠδῶν μεγίστῳ Ἀντωνίῳ. Ἀ(θανάσιος)".*

Ὠιδὴ α'. Ὁ εἱρμός.

Ἐν βυθῷ κατέστρωσέ ποτε,
τὴν φαραωνίτιδα,
πανστρατιὰν ἡ ὑπέροπλος δύναμις,
σαρκωθεὶς ὁ Λόγος δέ,
τὴν παμμόχθηρον,
ἁμαρτίαν ἐξήλειψεν,
ὁ δεδοξασμένος Κύριος,
ἐνδόξως γὰρ δεδόξασται.

Τροπάρια

Δὸς ἡμῖν τοῖς τέκνοις σου φωνήν,
ὅσιε Ἀντώνιε,
τοῦ ἀνυμνῆσαι τὸν ἔνθεον βίον σου,
καὶ τὰ κατορθώματα,
ἃ ἐπήγαγες,
κατ᾿ ἐχθρῶν θείᾳ χάριτι,
πρότυπον σαφὲς γενόμενος,
μονάζουσι τρισόλβιε.

Ἐν καρδίᾳ θεὶς τὸ τοῦ Χριστοῦ,
λόγιον μακάριε·
εἰ θέλεις τέλειος εἶναι ὑπάρχοντα,
πώλησον διάδοσον,
τοῖς πτωχεύουσι,
καὶ σταυρὸν ἄρας σκήνωσον,
ἐν τῇ πανερήμῳ· ἔσπευσας,
ὡς ἔλαφος Ἀντώνιε.

Ὕλην πᾶσαν τὴν βιοτικήν,
ἐκ ψυχῆς ἐμίσησας,
τῷ θείῳ ἔρωτι πάτερ πυρούμενος,
καὶ πυρίνας πτέρυγας,
ὡς οὐράνιος,
καὶ ὑψίνους ἀνείληφας,
πρὸς τὸν Ἰησοῦν ἐπέτασας,
εὐχόμενος τοῖς τέκνοις σου.

Θεοτοκίον

Τί σοι προσενέγκωμεν Ἁγνή,
Μῆτερ Ἀειπάρθενε,
οἱ διὰ σοῦ σωτηρίαν εὑράμενοι,
εἰ μὴ ὃν Ἀρχάγγελος,
πανευφρόσυνον,
ἀσπασμὸν προσενήνοχεν·
χαῖρε γυναικῶν τὸ καύχημα,
καὶ πλήρωμα τῆς Χάριτος.

Ὠιδὴ γ'. Ὁ εἱρμός.

Ἐξήνθησεν ἡ ἔρημος,
ὡσεὶ κρίνον Κύριε,
ἡ τῶν ἐθνῶν στειρεύουσα,
Ἐκκλησία τῇ παρουσίᾳ σου,
ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου.

Τροπάρια

Ἐξήνθισας Ἀντώνιε,
ὡσεὶ φοῖνιξ εὔκαρπος,
τῶν ἀρετῶν βλαστήματα,
καὶ ἐγένου εἰκὼν θεόγραφος,
τοῖς θέλουσι μιμεῖσθαι πολιτείαν σου.

Ῥωννύμενος τῇ Χάριτι,
τοῦ ἐχθροῦ τὰ ἔνεδρα,
διαφυγὼν κατέῤῥαξας,
καὶ ἐστέφθης σοφὲ Ἀντώνιε,
λαβὼν τῆς ἀπαθείας θεῖον χάρισμα.

Ἀγάπης θείας τέμενος
γεγονὼς Ἀντώνιε,
καὶ ἀδελφούς σου ἠγάπησας,
οὓς εἰκόνας Χριστοῦ ὠνόμαζες,
τιμῶν τὸ ἐν ἡμῖν πάτερ θεόπλαστον.

Θεοτοκίον

Ἁγνείας Παναμώμητε,
ἐραστὰς εὐλόγησον,
καὶ καθαρὸν τὸ φρόνημα,
ἀπὸ πάσης φθορᾶς συντήρησον,
ἐχθρῶν τὰς ἐπηρείας διαλύουσα.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Χοροὶ μοναστῶν,
σῷ βίῳ εὐφραινόμεθα,
καὶ τοῦτον λαμπρόν,
ὑπόδειγμα κατέχοντες,
πρὸς Χριστὸν Ἀντώνιε,
τὴν πορείαν βαδίζομεν,
ἣν πατρικαῖς σου εὐχαῖς,
εὐλόγησον ὅσιε φιλότεκνε.

Ὠιδὴ δ'. Ὁ εἱρμός.
Ἐλήλυθας ἐκ Παρθένου,
οὐ πρέσβυς οὐκ ἄγγελος,
ἀλλ᾽ αὐτὸς ὁ Κύριος,

σεσαρκωμένος καὶ ἔσωσας,
ὅλον με τὸν ἄνθρωπον,
διὸ κραυγάζω σοι·
δόξα τῇ δυνάμει σου Κύριε.

Τροπάρια

Ὑψώθης τῶν ἐγκοσμίων,
Ἀντώνιε ὅσιε,
προτιμήσας μόνωσιν,
ἢ νοός σου τὴν σύγχυσιν·
ἔρημον δὲ ᾤκησας,
τὸν Χριστὸν θηρώμενος,
ὅθεν χαρισμάτων ἐμπέπλησαι.

Τηρήσας σου τὰς αἰσθήσεις,
ἁγνὰς ἐκ θολώσεως,
διαρκῶς εὐχόμενος,
εἰς ἀκρώρειαν ἔφθασας,
ἀσκήσεως ἅγιε,
καὶ ἐγένου μέγιστος,
μοναστῶν ποιμὴν καὶ διδάσκαλος.

Ἡ Χάρις σοι συνεργοῦσα,
τὸν ζῆλον ἐπηύξανε,
οἰκοῦντι ἐν μνήματι,
νεκρῷ καὶ ζωθάπτῳ τε,
Ἀντώνιε πάντιμε,
διὸ ἐξανέστησαι,
πρὸ τῆς κοινῆς ἐγέρσεως ὅσιε.

Θεοτοκίον

Τριάδος τὰ δευτερεῖα,
κατέχουσα Πάναγνε,

Αὐτὴν καθικέτευε,
δωρήσασθαι ἄφεσιν,
πολλῶν παραπτώσεων,
καὶ ἁμαρτημάτων δεινῶν,
τοῖς σὲ τιμῶσι ὡς Θεομήτορα.

᾿Ωιδὴ ε'. ῾Ο εἱρμός.

Μεσίτης Θεοῦ,
καὶ ἀνθρώπων γέγονας,
Χριστὲ ὁ Θεός.
Διὰ σοῦ γὰρ Δέσποτα,
τὴν πρὸς τὸν ἀρχίφωτον Πατέρα σου,
ἐκ νυκτὸς ἀγνωσίας,
προσαγωγὴν ἐσχήκαμεν.

Τροπάρια

῾Ωράθη σοι φῶς
καὶ ἐν τούτῳ ὅσιε
Χριστὸς ὁ Θεός,
διασκεδάσας τὴν ἀπόγνωσιν,
τὴν ἐκ τῶν δαιμόνων ἐπενεχθεῖσάν σοι,
καὶ μετήχθη εἰς χαράν,
τὰ σκοτεινὰ ᾿Αντώνιε.

Νοῦς ὅλος Θεόν,
περιέχων γέγονας,
ἐξ οὗ τὸ λοιπόν,
προεώρας τὰ ἐσόμενα,
καὶ λογισμοὺς θνητῶν ἐγίνωσκες·
ἑλκύων πρὸς μετάνοιαν αὐτοὺς εἰλικρινῆ,
καὶ ἐγλύκανες ψυχάς,
σοῖς θεοῤῥύτοις ῥήμασι.



ΑΘΘΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὡς πάλαι Μωσῆς,
ὕδατα ἐξήγαγε,
τῇ ράβδῳ ἐν Σινᾷ,
καὶ σὺ πάτερ ἔβλυσας,
ὕδωρ ἐν ἐρήμῳ δι᾿ εὐχῆς,
τοὺς ἐκ τῆς δίψης κινδυνεύσαντας σώσας·
τοιαῦτα ἐνεργεῖ Θεός,
τοῖς ἀγαπῶσι τοῦτον πάντοτε.

Θεοτοκίον

Δέσποινα Ἁγνή,
παλάτιον ὁλόφωτον,
σκηνὴ τοῦ Ἰησοῦ,
γεγονυῖα καθικέτευε,
τοῦτον ἐνσκηνῶσαι ταῖς ψυχαῖς ἡμῶν,
καὶ πάντα τὰ νοήματα,
μεταβαλεῖν πρὸς θεοείδειαν.

Ὠιδὴ στ'. Ὁ εἱρμός.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος,
τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου,
ἐπικαλοῦμαι ἄβυσσον·
ἐκ φθορᾶς, ὁ Θεός με ἀνάγαγε.

Τροπάρια

Ὡς θηρία δαμάσας Ἀντώνιε,
πάθη τὰ δυσκάθεκτα τὴν χάριν εἴληφας,
θηρίων ἄρχειν ἄριστα,
ὡς Ἀδὰμ ἐν Ἐδὲμ ὁ πρωτόπλαστος.

Νοεραῖς ὁμιλήσας δυνάμεσι,
δύναμιν Ἀντώνιε δίδου τοῖς τέκνοις σου,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὅπως καλῶς εὐχόμενοι,
ὁμιλῶμεν ἀγγέλοις οἱ ἔνυλοι.

Μανικῶς συναφθεὶς τῷ Δεσπότῃ σου,
τοῦτον ὑπερλόγως σοφὲ ἠγάπησας,
καὶ ἐναθλῆσαι ἔσπευσας,
᾿Αλεξάνδρου εἰς πόλιν ᾿Αντώνιε.

Θεοτοκίον

᾿Εδοξάσθημεν πάντες οἱ ἄνθρωποι,
διὰ σοῦ Παναμώμητε Δέσποινα,
ὅτι Χριστὸν ἐγέννησας,
τὸν καινίσαντα φύσιν τὴν ἔκπτωτον.

᾿Ωιδὴ ζ'. ῾Ο εἱρμός.

᾿Αντίθεον πρόσταγμα παρανομοῦντος,
τυράννου μετάρσιον,
τὴν φλόγα ἀνεῤῥίπισε·
Χριστὸς δὲ ἐφήπλωσε θεοσεβέσι παισί,
δρόσον τὴν τοῦ Πνεύματος,
ὁ ῍Ων εὐλογημένος,
καὶ ὑπερένδοξος.

Τροπάρια

Γρηγόρως ἐπέστρεφες ἐν τῇ ἐρήμῳ,
ἐκ πόλεων ὅσιε,
ἐμμένων τῇ ἀσκήσει σου·
οὐ δεῖ μονασταῖς ἐν κόσμῳ μένειν ἔλεγες πολύ,
θνήσκουσι καὶ γάρ,
καθάπερ οἱ ἰχθύες,
ἔξω τοῦ ὕδατος.

Ἰδοὺ πρὸ ὀμμάτων σου ἀδελφέ μου,
ἔχε τὸν Δεσπότην σου,
καὶ οὐ μὴ σφάλῃς πώποτε·
ἐκ δὲ τῶν θείων Γραφῶν λάμβανε μαρτυρίαν,
καὶ μὴ ταχέως κινοῦ,
ἐκ τοῦ σοῦ τόπου,
καὶ σώζῃ, ἔλεγες.

Σφαλμάτων ὡς αἴτιον σαὐτὸν λογίζου,
ἕως ἐσχάτης σου πνοῆς,
καὶ δέχου πάντα πειρασμόν,
τῷ ἐρωτήσαντί σε εἴρηκας πάτερ μοναχῷ,
αὕτη γὰρ ἔστιν ἀληθῶς
ἡ ἐργασία,
Θεῷ ἀρέσκουσα.

Θεοτοκίον

Τὸν ὕμνον Πανάχραντε ἐκ τῶν Ἀγγέλων,
ὡς δεχομένη τὴν ἡμῶν,
ὑμνῳδίαν μὴ ἀπόῤῥιπτε·
ἐκ γὰρ εὐγνώμονος ψυχῆς σοὶ ἀναμέλπομεν,
ὡς εὐωδίαν μυστικήν,
ταύτην τὴν ᾠδήν,
τέκνα σου Πάναγνε.

Ὠιδὴ η'. Ὁ εἱρμός.
Κάμινος ποτέ,
πυρὸς ἐν Βαβυλῶνι,
τὰς ἐνεργείας διεμέριζε,
τῷ θείῳ προστάγματι,
τοὺς Χαλδαίους καταφλέγουσα,
τοὺς δὲ πιστοὺς δροσίζουσα ψάλλοντας·
εὐλογεῖτε πάντα,
τὰ ἔργα Κυρίου τὸν Κύριον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Τροπάρια

Ὢ τῶν σῶν σοφῶν
καὶ θείων διδαγμάτων!
δι᾽ ὧν ψυχὰς ἐστήριξας,
᾽Αντώνιε μέγιστε,
καὶ Χριστῷ αὐτὰς συνήρμοσας,
ὥσπερ δὲ Παῦλος ὁ καλὸς νυμφαγωγός,
Βασιλείας ἠξίωσας,
γενέσθαι κληρονόμους τρισόλβιε.

Ἄνευ πειρασμῶν,
οὐ δύναται σωθῆναι,
εἴρηκας πάτερ ὁ πιστός·
διὸ δίδου δύναμιν,
πρὸς φιλόθεον ἀντίστασιν,
τοῖς σοῖς τέκνοις ὅταν ὁ ἐχθρός,
προσβάλῃ ἐν τοῖς βέλεσιν ἡμᾶς,
ἵνα τοῦτον νικήσωμεν.

Νίκην τὴν τριπλῆν
νικᾷ ὁ ἡσυχίᾳ,
καὶ τῇ εὐχῇ καρτερικός·
τοῦ μὴ βλέπειν τὰ ἄτοπα,
μὴ ἀκούειν τὰ μὴ πρέποντα,
καὶ μήποτε τὰ ἄπρεπα λαλεῖν,
ἔλεγες ᾽Αντώνιε τέκνοις σου,
περὶ αὐτῶν ἐπερωτώμενος.

## Θεοτοκίον

Τείχισον ἡμᾶς,
Παρθένε θεῖον τεῖχος,
παρθενευόντων ἀληθῶς,

τὰς καρδίας καθαίρουσα,
γλυκασμῷ εὐχῆς τοῦ Ἰησοῦ,
καὶ ἐχθροῦ ῥῆξον ἅπασαν,
μισόψυχον Κυρία προσβολήν,
ὅπως ἀνυμνῶμεν σε πάντοτε,
καὶ τιμῶμεν τὸν θεῖον τόκον σου.

Ὠιδὴ θ'. Ὁ εἱρμός.

Ἀνάρχου γεννήτορος,
Υἱὸς Θεοῦ καὶ Κύριος,
σαρκωθεὶς ἐκ Παρθένου,
ἡμῖν ἐπέφανε,
τὰ ἐσκοτισμένα φωτίσαι,
συναγαγεῖν τὰ ἐσκορπισμένα·
διὸ τὴν πανύμνητον,
Θεοτόκον μεγαλύνομεν.

Τροπάρια

Ὦ πάτερ Ἀντώνιε,
Μονῆς σου τὸ ἐγκαύχημα,
καὶ πτωχῶν σου τεκνίων,
πλοῦτος ἀσύλητος,
στήριξον ἡμῶν τὰς καρδίας,
καὶ τὴν εὐχήν,
δίδου τοῦ Κυρίου,
ἡμῖν ἀδιάλειπτον,
σαῖς εὐχαῖς καὶ παρακλήσεσι.

Νικήσας πανάριστε,
τὸν κόσμον καὶ τοὺς δαίμονας,
ἐκ Κυρίου ἐστέφθης,
πάτερ Ἀντώνιε,
ὡς παναθλητὴς τῆς ἐρήμου,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ τῶν πιστῶν,
κοινὸς παρακλήτωρ·
διό σε δοξάζομεν,
οἱ τὴν Μάνδραν σου οἰκήσαντες.

Ἰάτρευσον ὅσιε,
Ἀντώνιε πρεσβείαις σου,
τῶν ψυχῶν ἡμῶν νόσους,
καὶ πάθη ἅπαντα,
τῶν δὲ λογισμῶν νέφη πόῤῥω,
τῶν καρδιῶν, ἀπώθησον μάκαρ,
εἰρήνην δωρούμενος,
τοῦ Δεσπότου τὴν ἀσάλευτον.

Ὡς στήριγμα ἔχοντες,
καὶ πρέσβυν ἀκαταίσχυντον,
σὲ Ἀντώνιε θεῖε,
τυχεῖν ἐλπίζομεν,
πάντες ψυχικῆς σωτηρίας,
καὶ τῷ Χριστῷ, ὁμοῦ συναφθῆναι,
Ἀγγέλων τε τάγμασι,
καὶ Ἁγίων τοῖς στρατεύμασι.

Θεοτοκίον
Ἀγάπην ἀμείωτον,
ἡμῖν Ἁγνὴ κατάστησον,
σοῦ Υἱοῦ καὶ Δεσπότου,
Ὃν ἠγαπήσαμεν,
καὶ Αὐτῷ ἀξίωσον στῆναι,
σοὺς ὑμνητάς, ἐν ὥρᾳ ἐσχάτῃ·
Σὺ πάντα γὰρ δύνασαι,
ὡς Θεὸν ἀφράστως τέξασα.

*Στίχοι*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἀνθ᾽ ὕμνων χάριν σοῖς τέκνοις δίδου θείαν,*
*Ἀντώνιε ὅσιε, κλέος ἐρήμου.*

# ΗΧΟΣ ΒΑΡΥΣ

**Κανὼν ἕβδομος, οὗ ἡ ἀκροστιχίς:**
*"Ἄχθη ψυχὰς βαρύνοντα ἡμῶν δίωκε, Πάτερ. Ἀ(θανάσιος)".*

Ὠιδὴ α'. Ὁ εἱρμός.

Νεύσει σου πρὸς γεώδη,
ἀντιτυπίαν μετήχθη,
ἡ πρὶν εὐδιάχυτος
ὑδάτων φύσις, Κύριε·
ὅθεν ἀβρόχως πεζεύσας,
ᾄδει Ἰσραήλ σοι,
ᾠδὴν ἐπινίκιον.

Τροπάρια

Ἄνοιξον τῆς καρδίας,
τὰ νοερὰ ἡμῶν χείλη,
Ἀντώνιε ὅσιε,
ὅπως ἐν θείοις ᾄσμασι,
σὸν ὑπερθαύμαστον βίον,
καὶ τὴν πολιτείαν,
ἀνευφημήσωμεν.

Χεῖρας βαλὼν εὐθέως,
ἐπὶ τὸ ἄροτρον πάτερ,
ἐνζήλως ἐβάδισας
ὁδὸν τὴν τῆς ἀσκήσεως,
τύπος γενόμενος πᾶσι,
τοῖς ἐπιποθοῦσι,

ζωὴν μονότροπον.
Θαύμασιν ὁ Δεσπότης,
ἐστήριξέ σε ὦ πάτερ,
ὡς τέκνῳ πολλάκις δέ,
πατὴρ ἐπεξηγήσατο,
τῶν ἀποῤῥήτων τὸ βάθος,
καὶ τῆς βασιλείας,
αὐτοῦ μυστήρια.

## Θεοτοκίον

Ἥμαρτον Θεοτόκε,
τῷ γλυκυτάτῳ Υἱῷ σου,
καὶ οὐκ ἔχω ἔνδυμα,
τῆς βασιλείας ἄξιον,
ὅθεν βοῶ σοι· παράσχου,
τὴν τῆς μετανοίας,
στολὴν πρεσβείαις σου.

## ᾽Ωιδὴ γ'. ῾Ο εἱρμός.

῾Ο κατ᾽ ἀρχὰς τοὺς οὐρανούς,
παντοδυνάμῳ σου Λόγῳ,
στερεώσας Κύριε Σωτήρ,
καὶ τῷ παντουργῷ καὶ θείῳ Πνεύματι,
πᾶσαν τὴν δύναμιν αὐτῶν,
ἐν ἀσαλεύτῳ με πέτρᾳ,
τῆς ὁμολογίας σου στερέωσον.

## Τροπάρια

Ψοφοειδεῖς κρότους ἐχθρῶν,
ὡς παιδαρίων παιζόντων,
ἐλογίζου πάτερ θαυμαστέ·
καὶ τὸ τοῦ Χριστοῦ προβάλλων ὄνομα,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

βέλος καθάπερ δραστικόν,
πόῤῥω ἐδίωκες τούτους,
καὶ εἰρηνικῶς διῆγες βίον σου.

Ὑπὲρ τὸν πλοῦτον καὶ φθοράν,
πτωχείαν πάτερ θελήσας,
ὡμοιώθης ὅλως τῷ Χριστῷ·
καὶ αὐτῷ ἀφεὶς πᾶσαν τὴν μέριμναν,
ἐμπιστοσύνῃ υἱικῇ,
ὥσπερ στρουθίον διῆλθες,
πᾶσαν τὴν ζωήν σου ὦ Ἀντώνιε.

Χριστοῦ τὴν νέκρωσιν ποθῶν,
ζώθαπτος πάτερ ἐφάνης,
ἐν μνημείῳ κλείσας σεαυτόν,
ἔνθα μισανθρώπου πεῖραν ἔλαβες,
δαρεὶς τῷ σώματι σφοδρῶς,
ἀλλὰ καὶ χάριν ἐδέξω,
ὅτε ὁ Δεσπότης ἐπεφάνη σοι.

Θεοτοκίον
Ἁγιωτέρα Χερουβίμ,
καὶ ὑπερτέρα Ἀγγέλων,
πέφυκας Παρθένε Μαριάμ·
ὅθεν δυσωπῶ σε ὁ ταλαίπωρος,
ἐκ τοῦ βυθοῦ ἁμαρτιῶν,
καὶ τοῦ τενάγους κακῶν μου,
τάχει με ἐξάγαγε πρεσβείαις σου.

Κάθισμα. Ἦχος βαρύς. Ἐσφραγισμένου τοῦ μνήματος.

Καταλιπὼν τὰ φθειρόμενα,
ἐζήτεις μόνον τὰ μένοντα,
ἐν τῇ ἐρήμῳ ἐλθών·
καὶ συμπλακεὶς διαβόλῳ,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὡς ἀθλητὴς Κυρίου, ἐνίκησας ὅσιε,
Πνεῦμα λαβὼν ἀγαθόν,
καθάπερ στέφος ζωῆς,
θεομακάριστε Ἀντώνιε.

Ὠιδὴ δ'. Ὁ εἱρμός.

Ὁ πατρικοὺς κόλπους μὴ λιπών,
καὶ καταβὰς ἐπὶ τῆς γῆς,
Χριστὲ ὁ Θεός,
τὸ μυστήριον ἀκήκοα τῆς οἰκονομίας σου,
καὶ ἐδόξασά σε μόνε Φιλάνθρωπε.

Τροπάρια

Σοφιστικοὺς λόγους καὶ κενούς,
προβάλλοντάς σοι τοὺς ἐθνικούς,
σοφίᾳ Χριστοῦ,
ἐναπέδειξας Ἀντώνιε αὐτοὺς φληναφήματα,
καὶ ἐξέθεσας, τὴν οὐράνιον ἀλήθειαν.
Βαρυντικοὺς πέπλους ὀφθαλμοῖς,
ὡς ἀγρυπνῶν διηνεκῶς,
πατέρων κλεινέ,
μὴ ἐάσας δι᾽ ἀμέλειαν σὲ καταλήψασθαι,
τοῖς ἀγγέλοις, ὡμιλλήθης ὡς ἄσαρκος.

Ἀρειανῶν πίστιν τὴν σαθράν,
κατεπολέμησας ὅλῃ ψυχῇ,
κηρύττων τρανῶς,
τὸ μυστήριον τῆς τοῦ Λόγου ἐνανθρωπήσεως,
Ὃν ἐτίμας, τῷ Πατρὶ ὁμοούσιον.

Θεοτοκίον

Ῥῦσαι πιστοὺς Μῆτερ Ἀγαθή,

τοῦ πονηροῦ μεθοδειῶν,
πρεσβεύουσα ἀεί,
τῷ Φιλανθρώπῳ Κυρίῳ καὶ Υἱῷ σου τῷ γλυκεῖ,
Ὃν ἐκ πόθου, ὡς Θεὸν δοξάζομεν.

Ὠιδὴ ε'. Ὁ εἱρμός.

Νὺξ ἀφεγγὴς τοῖς ἀπίστοις Χριστέ,
τοῖς δὲ πιστοῖς φωτισμός,
ἐν τῇ τρυφῇ τῶν θείων λόγων σου·
διὰ τοῦτο πρὸς σὲ ὀρθρίζω,
καὶ ἀνυμνῶ σου τὴν θεότητα.

Τροπάρια

Ὕλην σοφῶς ἐκλαμβάνων ἀεί,
πρὸς διδαχὴν μαθητῶν,
ἐκ φυσικῶν πραγμάτων ὅσιε,
τὴν ὑπέρτασιν τοῦ τοξότου,
περιχαρῶς λαλῶν ἐμείωσας.

Νοῦν συνεχῶς ἐπιτηρῶν λογισμούς,
θεοφιλεῖς ἀγαθούς,
ἐν τῇ εὐχῇ ἐκράτεις ἅγιε,
καὶ πρὸς τοῦτο Θεῷ ὀρθρίζων,
τὴν καθαρότητα ἀπείληφας.

Ὄνος θανὼν τοὺς λαλοῦντας σαθρά,
περὶ προγνώσεως δή,
δαιμονικῆς καλῶς διήλεγξεν,
σοῦ εἰδότος ἀντικειμένου,
τὴν πονηρίαν ὁσιώτατε.

Θεοτοκίον

Νόες φαιδρῶς ἀνυμνοῦσι τὰς σάς,
Θεοκυῆτορ ἀρετάς,
δι᾽ ὧν σαὐτὴν ἐκόσμησας,
καὶ ἐγένου ναὸς Κυρίου,
῝Ον προσκυνοῦμεν οἱ χριστώνυμοι.

᾽Ωιδὴ στ'. ῾Ο εἱρμός.

Ναυτιῶν τῷ σάλῳ τῶν βιοτικῶν μελημάτων,
συμπλόοις ποντούμενος ἁμαρτίαις,
καὶ ψυχοφθόρῳ θηρὶ προσῤῥιπτούμενος,
ὡς ὁ ᾽Ιωνᾶς Χριστὲ βοῶ σοι·
ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

Τροπάρια

Ταπεινῶν τὸν γαῦρον τῶν δαιμονικῶν φυσημάτων,
ἀνέθηκας Παύλῳ τῷ ἁπλουστάτῳ,
καιομένῳ ἡλίῳ ἀποδιῶξαι,
ἐξ ἀσθενοῦντος ἐνεργουμένου,
τῶν ἀνθρωποκτόνων τὸν ἑσμὸν ᾽Αντώνιε.

᾽Αθανάσιον μέγαν τῆς ᾽Ορθοδοξίας προστάτην,
ποιμένα μεγάλης ᾽Αλεξανδρείας,
καὶ ᾽Εκκλησίας ἁπάσης ὑπέρμαχον,
ὥς περ τὸν Μωσῆν ᾽Ιησοῦς Ναυῒ,
ἐκράτεις, ὦ πάτερ καὶ ἐστήριζες.

῾Ηδονῶν παντοίων τῶν βιοτικῶν μελημάτων,
ἀνδρείως ᾽Αντώνιε συμπατήσας,
τῷ γλυκυτάτῳ Κυρίῳ προσέδραμες,
καὶ εὐφραντικῶς αὐτῷ ἐβόας·
τὸ χαρμονικόν σου πρόσωπον ἐπίφανον.

Θεοτοκίον

Μοναστῶν χορείαν καὶ φιλοπαρθένων τὸ γένος,
εὐλόγησον Μῆτερ τῆς παρθενίας,
καὶ καθαρὰν τὴν ἁγνείαν συντήρησον,
ἀπὸ πειρασμῶν τοῦ ἀντιδίκου,
ἵνα μεγαλύνωμέν σε ᾿Αειπάρθενε.

᾿Ωιδὴ ζ'. ῾Ο εἱρμός.

Κάμινον παῖδες πυρίφλεκτον πάλαι,
δροσοβολοῦσαν ὑπέδειξαν,
ἕνα Θεὸν ἀνυμνοῦντες καὶ λέγοντες·
ὁ ὑπερυψούμενος,
τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Τροπάρια

Ὤφθη σοι πάτερ ἀκηδιάσαντι μόνῳ,
ἐν σῇ μορφῇ εἷς τις ἄγγελος,
ὑποδεικνὺς φανερῶς τὰ ἐμπρέποντα,
πρῶτον προσευχόμενος,
εἶτα πλέκων σειρὰν καὶ ἀνιστάμενος.

Νῦν ἔστι πάτερ καιρὸς ὅνπερ εἶπας,
ὅτε μαινόμενοι λέγουσι,
τοὺς εὐλαβεῖς καὶ φρονοῦντας ὡς μαίνονται·
ἀλλ᾽ ἡμῖν δώρησαι,
τὸν μανιώδη Χριστοῦ καὶ θεῖον ἔρωτα.

Δίκαιοι ὧδε πῶς πάσχουσιν ἔφης,
πῶς δὲ οἱ φαῦλοι προκόπτουσιν;
ἀλλ᾽ ἐκ Θεοῦ ἄνωθέν σοι ἀπήντηται·
μὴ ἐρεύνα μείζω σου,
καὶ πατέρων Θεοῦ κρίματα ἔλεγχε.

## Θεοτοκίον

Ἴασαι Μῆτερ πρεσβείαις σου θείαις,
τὴν ἐξασθενοῦσαν καρδίαν μου,
καὶ τοῦ Χριστοῦ τὴν ἀγάπησιν ἥλωσον,
ὥστε μὴ σαλεύεσθαι,
ἐξ ἀνέμων ἐχθροῦ ψυχοδιώκτου μου.

## ᾨδὴ η'. Ὁ εἱρμός.

Ἄφλεκτος πυρὶ ἐν Σινᾷ προσομιλοῦσα,
βάτος Θεὸν ἐγνώρισε,
τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσεῖ·
καὶ Παῖδας ζῆλος Θεοῦ,
τρεῖς ἀναλώτους τῷ πυρί ὑμνῳδοὺς ἔδειξε.
Πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε,
καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

## Τροπάρια

Ὦπταί σοι Μωσῆς ἐξηγῶν ἠπορημένα,
ὡς Ἀμμωνᾶς ἑώρακεν,
ἐν τῇ ἐρήμῳ ἐξελθόντι νυκτί,
καὶ εἴληφας τοῦ Λευϊτικοῦ,
δυσερμηνεύτων γραφῶν ἐκ φωνῆς ἐπίλυσιν·
πάντα ὁσίοις Κυρίου, τὸ Πνεῦμα ἐπιλύει,
καὶ ἀποκαλύπτει εἰς τοὺς αἰῶνας πάτερ.

Κίνησιν εἰδὼς σωματικὴν τῶν ἐνασκούντων,
φθόνῳ ἐχθροῦ ἐκφύουσαν,
δι᾽ ἐπηρείας τοῦ δυστήνου νοός,
καὶ ἄλλην τὴν φυσικήν,
ὡς συμφυεῖσαν σαρκὶ σοῖς μαθηταῖς εἴρηκας,
οὐκ ἐνεργοῦσαν τὸ πάθος ἀνθρώπων μὴ θελόντων,
ὧν ἡμᾶς λυτρώσαις, Ἀντώνιε θεόφρον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Εὕρατο ὁδὸν Ἰωσὴφ εἰπὼν οὐκ οἶδα,
ὑπὲρ πολλοὺς Ἀντώνιε,
ἐν τῇ συνάξει θεοφόρων ἀνδρῶν,
σημαίνων ὅτι Θεός,
τοῖς ταπεινοῦσιν ἑαυτοὺς ἀληθῶς ᾤκησε·
πάντα τὰ ἔργα Κυρίου ποιεῖν ἐν ταπεινώσει,
ἤθελες θεόφρον, πληθὺν τῶν φοιτητῶν σου.

Θεοτοκίον

Πόλεμος δεινὸς ἐν ἐμοὶ Παρθενομῆτορ,
ὅτι πολλὴ ἀμέλεια,
τῷ ταλαιπώρῳ ἐξεστράτευσε νῦν·
καὶ ποῖος ἄλλος εἰ μὴ σύ,
συμπαθῆσαι δυνατὸς ἀγαθὴ Δέσποινα;
Ὅθεν Κυρίου ἐν τάχει ἐμφύτευσον τὸν φόβον,
καὶ τῆς παρουσίας, τῇ ταπεινῇ ψυχῇ μου.

Ὠιδὴ θ'. Ὁ εἱρμός.

Μὴ τῆς φθορᾶς διαπείρᾳ κυοφορήσασα,
καὶ παντεχνήμονι Λόγῳ, σάρκα δανείσασα,
Μῆτερ ἀπείρανδρε, Παρθένε Θεοτόκε,
δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου,
Πλαστουργοῦ σου· σὲ μεγαλύνομεν.

Τροπάρια

Ἀθανασίῳ τῷ στύλῳ πάτερ τῆς πίστεως,
καὶ Ὀρθοδόξων προστάτῃ, σφόδρα συνέδραμες,
ὅτε ὁ Ἄρειος, ὡς λύκος ψυχοφθόρος,
ἐπιδραμὼν τῇ ποίμνῃ, ἐδίδασκε τὴν πλάνην,
κατὰ Λόγου, Ὃν μεγαλύνομεν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὴν μηλωτὴν ἀφιείς σου τῷ Σεραπίωνι,
καὶ ἡμῖν ἄφες ὦ πάτερ, τὴν εὐλογίαν σου,
ὅπως τὸν Κύριον, ἐξ ὅλης διανοίας,
καὶ πάσῃ τῇ καρδίᾳ, φιλήσωμεν σοὶ δοῦλοι,
καὶ φανῶμεν, κληρονόμοι Χάριτος.

᾿Ενεργουμένην ἐκτήσω ἀγάπην ὅσιε,
πρὸς τὸν Θεὸν διὸ φόβον, ψυχῆς ἐδίωξας,
ἣν κληρονόμησον, ᾿Αντώνιε σοῖς τέκνοις,
ὡς δῶρον τῶν εὐχῶν σου, καὶ δεῖγμα εὐμενίας,
πρὸς Μονήν σου, ἐν ᾗ ἀσκούμεθα.

῾Ρύου φθορᾶς διαβόλου ταύτην τὴν ποίμνην σου,
καὶ τὸν Φιλάνθρωπον Λόγον, ἀεὶ ἱκέτευε,
ὅπως ᾿Αντώνιε, καλῶς πολιτευθέντες,
κατὰ τὰς ὑποσχέσεις, τὸ πρόσωπον Κυρίου,
ἐν μελλούσῃ, Βασιλείᾳ ἴδωμεν.

Θεοτοκίον

῾Αμαρτιῶν μου βλέπων Μῆτερ τὸ πέλαγος,
στένων βοῶ ἐκ καρδίας, καὶ κράζω· ἥμαρτον,
πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἐναποῤῥίπτω,
ἱκέτευε Υἱόν σου, ὅπως τὴν σωτηρίαν,
ὡς Φιλάνθρωπος, δῷ μοι Δέσποινα,

Στίχοι

*῾Εβδοματικῆς ἡμᾶς λύτρωσαι πλάνης,*
*ὅσιε ᾿Αντώνιε, υἱὲ ὀγδόης.*

**ΗΧΟΣ ΠΛ. Δ'**

**Κανὼν ὄγδοος, οὗ ἡ ἀκροστιχίς:**
*“Σὲ ὡς ὀγδόης μεθεκτήν, Ἀντώνιε, τιμήσω. Ἀ(θανάσιος)”.*

Ὠιδὴ α'. Ὁ εἱρμός.

Ἁρματηλάτην φαραὼ ἐβύθισε,
τερατουργοῦσα ποτέ,
μωσαϊκὴ ῥάβδος,
σταυροτύπως πλήξασα,
καὶ διελοῦσα θάλασσαν,
Ἰσραὴλ δὲ φυγάδα,
πεζὸν ὁδίτην διέσωσεν,
ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.
Τροπάρια

Σταυρὸν Χριστοῦ ἐπὶ τῶν ὤμων ὅσιε,
καλῶς ἐβάστασας,
ὅτε ἐνωτίσθης·
ὅστις θέλει τέλειος,
γενέσθαι δεῦτε ἅπαντα,
τὰ τοῦ βίου μισῆσαι,
καὶ γυμνωθεὶς πάσης κτήσεως,
οὕτω μαθητής μου κληθήσεται.

Ἐρημικῶς ὡς πελεκὰν ἐβίωσας,
πάτερ Ἀντώνιε,
τὸν Χριστὸν διώκων,
πάσαις ταῖς δυνάμεσι,
καὶ μυστικῶς σταυρούμενος,
τοῖς φθαρτοῖς βίου τούτου,
ὀγδόης μέτοχος γέγονας,
ἧς καταξιώσαις τὰ τέκνα σου.

Ὡς νεκρωθεὶς διὰ Χριστὸν Ἀντώνιε,
σαὐτὸν ἐνέκλεισας,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ζῶντα ἐν μνημείῳ,
σκοτεινῷ ὁλόφωτε,
ἔνθα σατὰν ὁ δόλιος,
ἐν μορφαῖς ζώων πλείστων,
σὲ ἐκφοβῆσαι ἐτόλμησε,
ἀλλὰ κατῃσχύνθη ὁ ἄθλιος.

Θεοτοκίον

Σὲ μακαρίζουσιν ἀγγέλων τάγματα,
Μῆτερ ἀνύμφευτε,
καὶ σὲ προσκυνοῦσι,
πάντες οἱ χριστώνυμοι,
ὡς πέλουσαν μεθόριον,
ἐν φθαρτοῖς καὶ ἀϋλοις,
ἀφ᾽ ἧς ἡμέρας συνέλαβες,
ἐν γαστρὶ Θεὸν Λόγον Πάναγνε.

᾿Ωιδὴ γ'. ῾Ο εἱρμός.

Οὐρανίας ἁψῖδος,
ὀροφουργὲ Κύριε,
καὶ τῆς ᾿Εκκλησίας δομῆτορ,
σύ με στερέωσον,
ἐν τῇ ἀγάπῃ τῇ σῇ,
τῶν ἐφετῶν ἡ ἀκρότης,
τῶν πιστῶν τὸ στήριγμα,
μόνε Φιλάνθρωπε.

Τροπάρια

Οὐρανὸν τὴν ψυχήν σου,
δι᾽ ἀρετῶν κτήσεως,
ἔδειξας ᾿Αντώνιε πάτερ,
ἐν ᾗ ὡς ἥλιος,

Χριστὸς ἐνίδρυτο,
καταφωτίζων τὸν νοῦν σου,
καὶ πρὸς θείαν ἄσκησιν,
θερμαίνων τόνον σου.

Γρηγορῶν καθ᾽ ἑκάστην,
ἐν ταῖς εὐχαῖς ὅσιε,
ὕπνον ἐξεδίωξας πόῤῥω,
καὶ νοῦν ἰσάγγελον,
βίᾳ ἀπέδειξας,
ἐκ πλησμονῆς τῆς ἀγάπης,
πρὸς Χριστὸν ἣν ἔσχηκας,
πάτερ ᾽Αντώνιε.

Διαβόλου ἐνέδρας,
ταπεινωθεὶς ἔδειξας,
ὥσπερ παιδαρίων ἀτάκτων,
πάτερ ἀθύρματα,
καὶ κατεπλούτησας,
τὴν ἀφοβίαν ἐν πᾶσιν,
ἥτις βάσις πέφυκε,
πρὸς ἄθλους πνεύματος.

Θεοτοκίον

Οὐρανῶν πλατυτέρα,
καὶ πάσης γῆς πέφυκας,
ἀνωτέρα Πάναγνε Κόρη,
ὅτι ἐβάστασας,
ἐν ταῖς ἀγκάλαις σου,
τὸν Ποιητὴν τῶν ἁπάντων,
᾽Ιησοῦν τὸν Κύριον,
πιστῶν τὸ γλύκασμα.

Κάθισμα. ῏Ηχος πλ.δ'. Τὸ προσταχθέν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀντὶ τοῦ πλούτου τοῦ φθαρτοῦ ὃν ἀπηρνήσω,
διὰ Δεσπότου θεῖον ἔρωτα τρισμάκαρ,
ἑκατονταπλάσιον εὗρες τὸν μισθόν σου,
ἀσκήσας ὥσπερ ἰσάγγελος ἐν τῇ γῇ,
καὶ μόνον ἐπιποθήσας τὸν Ἰησοῦν,
Ὧι ἀεὶ παριστάμενος,
ὑπὲρ ἡμῶν ἐκτενῶς,
τῶν τέκνων σου Ἀντώνιε,
ὡς πατὴρ καθικέτευε.

Ὠιδὴ δ'. Ὁ εἱρμός.

Σύ μου ἰσχύς, Κύριε, σύ μου καὶ δύναμις,
σὺ Θεός μου, σύ μου ἀγαλλίαμα,
ὁ πατρικοὺς κόλπους μὴ λιπών,
καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος.
Διὸ σὺν τῷ προφήτῃ, Ἀββακοὺμ σοι κραυγάζω·
τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Τροπάρια

Ἧττας πικρὰς εἴληφεν, ὁ ἀντικείμενος,
ἐννοήσας, σὲ νικῆσαι ὅσιε,
μὴ λογισθεὶς δύναμιν Θεοῦ,
ἥτις μυστικῶς σοι, προσεπολέμει Ἀντώνιε,
διὸ μακρὰν ἑστώς σου, καὶ ὁρῶν σε ὡς φλόγα,
ἐφεξῆς οὐκ ἐτόλμα πειράζειν σε.

Σαρκὸς φθαρτῆς ἅγιε, ὅλως ἠλόγησας,
τὴν φροντίδα ῥίψας εἰς τὰ μένοντα,
καὶ διαρκῶς ταῦτα μελετῶν·
ὅθεν ἐν πτωχείᾳ, τὸν βίον ὅλον διήνυσας,
πτωχεύσαντος Δεσπότου, διὰ φιλανθρωπίαν,
τὸ ὑπόδειγμα ἔχων Ἀντώνιε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μακαριστὸς γέγονας, θεῖε Ἀντώνιε,
καὶ ἀνθρώποις πᾶσιν ἐπιπόθητος,
δι᾽ ἀρετὴν τὴν ἀσκητικήν,
ἣν ὡς πρωτοπόρος, τῇ Ἐκκλησίᾳ ἐδίδαξας·
διὸ μόνον τὸ βλέπειν, τὴν μορφήν σου ἐπήρκει
χριστωνύμοις πιστοῖς φιλοσίοις τε.

Θεοτοκίον

Ἐγὼ Ἁγνὴ πέφυκα, δένδρον τὸ ἄκαρπον,
καὶ πτοοῦμαι ἐκκοπὴν τὴν μέλλουσαν,
καὶ τοῦ πυρὸς θείαν ἀπειλήν,
ὅθεν σοὶ προσπίπτω, καὶ ἐκτενῶς ἱκετεύω σε·
δυσώπει τὸν Υἱόν σου, καὶ καλόν μου Δεσπότην,
ἐξελέσθαι γεέννης δικαίας με.

Ὠιδὴ ε'. Ὁ εἱρμός.

Ἵνα τί με ἀπώσω,
ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον,
καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον;
ἀλλ᾽ ἐπίστρεψόν με,
καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου,
τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Τροπάρια

Θεωρίας ἀῤῥήτων,
βλέπων μυστηρίων ἐν ἐρήμῳ ὅσιε,
καὶ ἀποκαλύψεις, τῶν μελλόντων πραγμάτων δεχόμενος,
τοῖς συνασκηταῖς σου,
διὰ σοφῆς διδασκαλίας,
ἐντολὰς τοῦ Θεοῦ διερμήνευες.

Ἐν σεμνῇ σου καρδίᾳ,

φόβος τοῦ Θεοῦ οὐκ ἐγκαθίδρυται,
ὅτι ἡ ἀγάπη, τοῦτον πάτερ μακράν σου ἐδίωξεν·
ὅθεν θείου νόμου,
τὰς ἐντολὰς πάσας ἐτήρεις,
ἐξ ἀγάπης καὶ μόνον πρὸς Κύριον.

Κυριεύσας ἐμφρόνως,
τῶν παθῶν εἰς πρωτόκτιστον κάλλος ἔφθασας,
ὅθεν καὶ ἀλόγων, ἐκυρίευσας πάτερ Ἀντώνιε,
ὡς τῶν κροκοδείλων,
ἐν ποταμῷ ἡ ἱππασία,
τὴν ἀλήθειαν λόγου ἐδήλωσε.

Θεοτοκίον

Τυραννοῦσι ψυχήν μου,
ἁμαρτίαι παντοῖαι Θεοχαρίτωτε,
καὶ βαθὺ ὡς νέφος, ὀφθαλμοὺς νοερούς μου καλύπτουσι,
ὅθεν ἐξαιτῶ σε,
ταύτας διάλυσον ἐν τάχει,
ὅπως ἴδω τὸ φῶς τοῦ Κυρίου μου.

Ὠιδὴ στ᾽. Ὁ εἱρμός.

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον,
καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις,
ὅτι κακῶν, ἡ ψυχή μου ἐπλήσθη,
καὶ ἡ ζωή μου τῷ Ἅιδη προσήγγισε·
καὶ δέομαι ὡς Ἰωνᾶς,
ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Τροπάρια

Ἡ δύναμις τῆς εὐχῆς σου ὅσιε,
διετήρει συνοχὴν οἰκουμένης,

καὶ ἀρετῶν, σοῦ ἐξῆλθεν ἡ φήμη,
εἰς γῆς τὰ πέρατα πάτερ Ἀντώνιε·
τοιούτῳ τρόπῳ γὰρ Χριστός,
τοὺς αὑτοῦ μεγαλύνει θεράποντας.

Νενίκηνται οἱ θεσμοὶ τῆς φύσεως,
ἐν τῇ θείᾳ βιοτῇ σου παμμάκαρ,
ὅτι ἀεί, ἐν εὐχῇ διετέλεις,
ὥσπερ ἀσώματος ἄγγελος ἅγιε,
καὶ μὴ γευόμενος τροφῆς,
ἐν ἀσκήσει προέκοπτες πάντοτε.

Ἀνείλκυσας φοιτητῶν σου ὅσιε,
τὴν πληθὺν ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω,
τούτοις φανείς, ἐκ τοῦ βίου διδάσκων,
ἤπερ τῶν λόγων τῇ χρήσει Ἀντώνιε,
καὶ ἔπλησας ἁγνῶν ψυχῶν,
οὐρανοῦ τὰς σκηνὰς καὶ τὰ δώματα.

Θεοτοκίον

Νεάζουσιν ἐν ἐμοὶ γηράσαντι,
ἁμαρτίαι Θεοτόκε Παρθένε,
καὶ τὴν ψυχήν, πολεμοῦσιν ἀπαύστως,
τὴν ἡδονὴν ὥσπερ δόλωμα βάλλουσαι,
ἐξ ὧν με ῥῦσαι δυσωπῶ,
τὸν γλυκὺν Ἰησοῦν ἱκετεύουσα.

Ὠιδὴ ζ'. Ὁ εἱρμός.

Παῖδες ἑβραίων ἐν καμίνῳ,
κατεπάτησαν, τὴν φλόγα θαρσαλέως,
καὶ εἰς δρόσον τὸ πῦρ,
μετέβαλον βοῶντες·
εὐλογητὸς εἶ Κύριε,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Τροπάρια

Τύπος ἐδείχθης ἐγκρατείας,
καὶ ἀσκήσεως, ᾿Αντώνιε θεόφρον,
ὥσπερ χοῦν ἡδονάς,
καταφρονήσας κόσμου,
καὶ τὸν Χριστὸν ὡς μόνιμον,
εὐφροσύνην προτιμήσας.
Ὤρθριζες πάτερ καθ᾿ ἑκάστην,
καὶ ἐφύλαττες, τὰς φυλακὰς Κυρίου,
ὅθεν πλήρης φανείς,
ἀγωνισμάτων θείων,
πιστούς σοι προσπελάζοντας,
ἐν σοφίᾳ ᾠκοδόμεις.

Νίκην ποθήσας τὴν ἀρίστην,
ταύτην εἴληφας ᾿Αντώνιε ὡς χάριν·
τρεῖς ἐχθροὺς νοητούς,
σαὐτὸν σατὰν καὶ κόσμον,
ποσίν καθυποτάξας σου,
τῇ δυνάμει τοῦ Κυρίου.

Θεοτοκίον

Ἴασαι Μῆτερ ἀσθενοῦσαν,
τὴν διάνοιαν, ταῖς θείαις σου πρεσβείαις,
καὶ δεσμῷ θεϊκῷ,
συγκράτησον σκιρτῶσαν,
τὴν μνήμην τοῦ Κυρίου μου,
ἐν αὐτῇ ἐγκαθιστῶσα.

᾿Ωιδὴ η'. Ὁ εἱρμός.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα,
καὶ ἐν βάτῳ πυρὶ τὸ τῆς ᾿Αειπαρθένου,
τῷ Μωϋσῇ μυστήριον γνωρίσαντα,
Κύριον ὑμνεῖτε,
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια

᾿Επελάθου καὶ γήρως ἀσθενείας,
ἐρευνῶν ἐφευρεῖν τὸν Παῦλον ἐν ἐρήμῳ,
οὗ ἐντυχὼν ᾿Αντώνιε ἐθαύμασας,
βίον θεοφόρον,
καὶ τοὺς ὑπὲρ φύσιν ἀγῶνας οὓς ὑπέστη.

Τῶν Μαρτύρων ἐπιποθήσας ἆθλα,
τούτους ἤλειφας ᾿Αντώνιε ἐν λόγοις,
τῆς συνειδήσεως σὺ τὸ μαρτύριον,
ἐν τῇ πανερήμῳ,
ἄριστα ἀθλήσας εἰς ἅπαντά σου βίον.

᾿Ιατρὸς ἀνεδείχθης ἀσθενοῦντας,
ἐξιώμενος Κυρίου ἐπικλήσει,
καὶ δαιμονίων σμήνη ἀπεδίωκες,
πάτερ χριστοφόρε,
τῇ πολλῇ ἀγάπῃ πρὸς τοὺς ἐνεργουμένους.

Θεοτοκίον

Μαινομένην τὴν θάλασσαν παθῶν μου,
Μῆτερ ἄχραντε κατάπαυσον εὐχαῖς σου,
καὶ τὴν εἰρήνην δώρησαι τὴν μένουσαν,
Πάναγνε ψυχῇ μου,
ἐκταραττομένῃ ταῖς προσβολαῖς δαιμόνων.

᾿Ωιδὴ θ'. ῾Ο εἱρμός.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός,
καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα,
ὅτι Θεός,
ὤφθη τοῖς ἀνθρώποις σωματικῶς,
καὶ ἡ γαστήρ σου γέγονεν,
εὐρυχωροτέρα τῶν οὐρανῶν·
διό σε Θεοτόκε,
ἀγγέλων καὶ ἀνθρώπων,
ταξιαρχίαι μεγαλύνουσιν.

## Τροπάρια

Ἡνίκα τοῦ Ἀρείου ἡ θολερά,
ἐπεφάνη δυσσέβεια ἔσπευσας,
ὡς κεραυνός,
ἀπὸ τῆς ἐρήμου καίων σαπρά,
καὶ δαιμονώδη δόγματα,
πάντας δὲ ἐδίδασκες εὐσεβῶς,
συσσέβειν Θεὸν Λόγον,
Πατρὶ ὁμοουσίῳ,
καὶ ὁμοτίμῳ πάτερ Πνεύματι.

Σημεῖον ἀπεστάλης ἐξ οὐρανοῦ,
Ἐκκλησίᾳ Ἀντώνιε ὅσιε,
καὶ ἀκριβής,
πίναξ τῆς τηρήσεως ἐντολῶν,
δι᾽ ὧν πιστοὶ φωτίζονται,
καὶ κληρονομοῦσι τῶν οὐρανῶν,
τὴν θείαν Βασιλείαν,
ἐν ᾗ ἑστὼς μὴ παύσῃ,
ὑπὲρ ἡμῶν ἀεὶ δεόμενος.

Ὡς δίλεπτον ἐκδέχου χηριακόν,
τὰς ᾠδὰς θεοφόρε Ἀντώνιε,
ἅς ἐκ ψυχῆς,

τέκνα σου προσάγουσι τὰ πτωχά,
ἃ πάτερ καταπλούτησον,
θείᾳ σου πρεσβείᾳ ταῖς ἀρεταῖς,
δι᾽ ὧν ἀξιωθῶσι
τὸ πρόσωπον Κυρίου,
ἰδεῖν τὸ πάντῃ παντοπόθητον.

Θεοτοκίον

᾽Αντώνιον ὑμνήσαντες ἐκ ψυχῆς,
Θεοτόκε Υἱοῦ σου ἐκσφράγισμα,
ἰδοὺ καὶ νῦν,
σὲ ὑμνοῦμεν Δέσποινα ἐκτενῶς,
τὴν κόσμῳ ἐξανθήσασαν,
τῶν ψυχῶν ἡμῶν θεῖον ἐραστήν,
῞Ον πρέσβευε ἀπαύστως,
τυχεῖν τῆς Βασιλείας,
ὅσοι τὴν δόξαν σου δοξάζομεν.

Στίχοι

*᾽Εξώνησον, ᾽Αντώνιε, ταῖς εὐχαῖς σου,*
*τῷ Χριστῷ σὺν τέκνοις καὶ τὸν ὑμνῳδόν σου.*

## ΗΧΟΣ ΠΛ.Β'.

**Κανὼν ἕκτος, οὗ ἡ ἀκροστιχίς:**
*“Τῷ ἀσκητῇ ἰσάριθμος ᾠδὴ ῾Εξαπτερύγων.᾽Α(θανάσιος)”.*

᾽Ωιδὴ α'. ῾Ο εἱρμός.

῾Ως ἐν ἠπείρῳ πεζεύσας ὁ ᾽Ισραήλ,
ἐν ἀβρόχοις ἴχνεσι,
τὸν διώκτην Φαραώ,

καθορῶν ποντούμενον Θεῷ,
ἐπινίκιον ᾠδὴν ἐβόα ἄσωμεν

Τροπάρια

Τὴν ἕκτην ταύτην προσδέχου Πάτερ ᾠδήν,
ἥν πτωχὰ τεκνία σου,
ἐκ καρδίας καὶ ψυχῆς,
νῦν προσφέρομέν σοι καὶ τὰς σάς,
ἐξαιτούμεθα εὐχὰς πρὸς τὸν Φιλάνθρωπον.

῾Ως ὄναρ πάντα ἀπέῤῥιψας καὶ σκιά,
τὰ τοῦ βίου ὅσιε,
ὅτε λόγον τοῦ Θεοῦ,
ἐν ψυχῇ ἐδέξω καὶ σταυρόν,
᾿Ιησοῦ τοῦ ἀγαθοῦ εὐθὺς ἐβάστασας.

᾿Αθλητικὴν ἐμιμήσω διαγωγήν,
τῶν Μαρτύρων ὅσιε,
ἐν ἐρήμῳ κατοικῶν,
συνειδήσει θνήσκων συνεχῶς,
ὡς τοῖς ξίφεσιν αὐτοὶ Χριστῷ τεθνήκασι.

Θεοτοκίον

Στήλη ὑπάρχεις Παρθένε χριστιανούς,
ὁδηγοῦσα πάντοτε,
βασιλείας πρὸς ὁδόν,
τούτους ἀναψύχουσα καλῶς,
ἐκ δαιμόνων προσβολῶν καὶ πάσης θλίψεως.

᾿Ωιδὴ γ'. ῾Ο εἱρμός.

Οὐκ ἔστιν ἅγιος ὡς σύ,
Κύριε ὁ Θεός μου,
ὁ ὑψώσας τὸ κέρας,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῶν πιστῶν σου ᾿Αγαθέ,
καὶ στερεώσας ἡμᾶς,
ἐν τῇ πέτρᾳ,
τῆς ὁμολογίας σου.

Τροπάρια

Κατακλυσμὸν ἀποφυγών,
πάτερ τῆς ἁμαρτίας,
εἰς ἐρήμους ἀνύδρους,
κατεσκήνωσας καλῶς,
καρποφορῶν ἀρετὰς ,
τῇ δυνάμει,
τοῦ ῾Αγίου Πνεύματος.

῾Ηνίκα πάτερ ὁ ἐχθρός,
φθόνῳ προσέβαλέ σοι,
ἐπικλήσει ἁγίᾳ,
τοῦ ὀνόματος Χριστοῦ,
κατεπυρπόλεις αὐτόν,
καὶ εὐθέως,
πόῤῥω σου ἐδίωκες.
Τὰς ἐφημέρους ἡδονάς,
ἡδονῇ τῇ μενούσῃ,
κατενίκας γενναίως,
καὶ νηστείᾳ κρατερᾷ,
ἐλιμαγχόνεις αὐτάς,
ὡς θηρίον,
πάτερ πολυκέφαλον.

Θεοτοκίον

῾Η φύσις πᾶσα τῶν βροτῶν,
μακαρίζει σε Κόρη,
ὡς τεκοῦσαν ἀφράστως,

τὸν τῶν ὅλων Ποιητήν,
καὶ εὐφημοῦσα βοᾷ,
ἐν αἰνέσει,
τὸ γλυκύ σου Ὄνομα.

Κάθισμα. Ἦχος πλ. β'. Τὴν ὑπὲρ ἡμῶν.

Νῦν ὑπέρ ἡμῶν, σὰς χεῖρας ὕψωσον πάτερ,
καὶ τὸν Ἀγαθόν, ἱλέου σῇ κληρουχίᾳ·
ἐπὶ σοὶ πεποιθότες δι᾽ ἀγάπην Χριστοῦ,
τὴν ὁδὸν ἐξελεξάμεθα,
τῆς ἀσκήσεως Ἀντώνιε,
καὶ Μονῇ σου συνηυλίσθημεν,
ὡς στρουθία λογικά,
ἐπιποθοῦντες ζωήν.

Ὠιδὴ δ'. Ὁ εἱρμός.

Χριστός μου δύναμις,
Θεὸς καὶ Κύριος,
ἡ σεπτὴ Ἐκκλησία θεοπρεπῶς,
μέλπει ἀνακράζουσα,
ἐκ διανοίας καθαρᾶς,
ἐν Κυρίῳ ἑορτάζουσα.

Τροπάρια

Ἰὸν τοῦ ὄφεως,
σοφῶς ἠκύρωσας,
τῇ ἐνστάσει Ἀντώνιε καὶ ζωῆς,
γέγονας συμμέτοχος,
σκιρτοβατῶν πνευματικῶς,
εἰς Ἐδὲμ τὴν ἐπουράνιον.

Σταυρὸν ἠγάπησας,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τοῦ γλυκυτάτου σου,
Ἰησοῦ διὰ βίου ἀπὸ ψυχῆς,
ὅσιε Ἀντώνιε,
ἐπιποθῶν καταλαβεῖν,
ἀναστάσεως χαρίσματα.

Ἁγνὸς τῷ σώματι,
γλυκὺς τοῖς τρόποις σου,
καὶ πραέος Κυρίου ἐκμιμητής,
γέγονας ἐν βίῳ σου,
ὥς τις χριστόγραφος εἰκών,
παμμακάριστε Ἀντώνιε.

Θεοτοκίον

Ῥοὴν μοι χάρισαι,
δακρύων Ἄχραντε,
δι᾽ ὧν πλήθη πολλῶν μου ἁμαρτιῶν,
ἐξαφανισθήσονται,
καὶ τῷ Δεσπότῃ ἐποφθῶ,
καθαρὸς ἐν ὥρᾳ κρίσεως.

Ὠιδὴ ε'. Ὁ εἱρμός.

Τῷ θείῳ φέγγει σου Ἀγαθέ,
τὰς τῶν ὀρθριζόντων σοι ψυχάς,
πόθῳ καταύγασον δέομαι,
σὲ εἰδέναι Λόγον Θεοῦ,
τὸν ὄντως Θεόν,
ἐκ ζόφου τῶν πταισμάτων,
ἀνακαλούμενον.

Τροπάρια
Ἰλύν μου ἅπασαν τῆς ψυχῆς,
ταῖς ἰσχυροτάταις σου εὐχαῖς,

τάχει καθάρισον ὅσιε,
καὶ στολήν μοι δίδου δι᾽ ἧς,
νυμφῶνος Χριστοῦ,
μετάσχω σὺν ἁγίων
χοροῖς ὁ ἄθλιος.

Θεοῦ γινώσκων τὴν πατρικήν,
πρὸς τοὺς ἁμαρτάνοντας στοργήν,
τούτους προέτρεπες ἅγιε,
διὰ μετανοίας ὁλοτελοῦς,
ζητῆσαι Αὐτόν,
καὶ αὖθις ἀνακτῆσαι,
χάριν πρωτόκτιστον.

Μεγίστην ἔσχε πάτερ ἰσχύν,
ἡ σὴ πρὸς Φιλάνθρωπον εὐχή,
δι᾽ ἧς πολλοὺς ἠλευθέρωσας,
τῆς δαιμονικῆς ἐπιβουλῆς,
καὶ πάλιν αὐτούς,
συνῆψας τῷ Νυμφίῳ,
Χριστῷ ᾿Αντώνιε.

Θεοτοκίον

῞Ον οὐκ ἐχώρησεν οὐρανός,
ἡ σὴ μήτρα ἔκλεισεν ῾Αγνή,
ἐπιφοιτήσει τοῦ Πνεύματος.
καὶ ἐγένου κλῖμαξ μυστική,
ἀνάγουσα πιστούς,
ἀνθρώπους πρὸς Δεσπότην,
δῶρα εὐπρόσδεκτα.

᾿Ωιδὴ στ΄. ῾Ο εἱρμός.

Τοῦ βίου τὴν θάλασσαν,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὑψουμένην καθορῶν,
τῶν πειρασμῶν τῷ κλύδωνι,
τῷ εὐδίῳ λιμένι σου προσδραμών,
βοῶ σοι· ἀνάγαγε,
ἐκ φθορᾶς,
τὴν ζωήν μου Πολυέλεε.

Τροπάρια

Στενά μοι ἐγένοντο,
πανταχόθεν τῷ πτωχῷ·
σαῖς προσευχαῖς Ἀντώνιε,
ὡς στρουθίον προσέρχομαι ταπεινόν,
καὶ κράζω· βοήθει μοι,
ὡς πατήρ,
ἐλεήμων καὶ φιλότεκνος.

Ὡράθης ὡς ἄϋλος,
ἢ σαρκὶ περιπολῶν,
Ἀντώνιε φιλόθεε,
ἐν χορείᾳ Ἁγίων παντοδαπῶν,
καὶ γὰρ ὥσπερ εἴρηκας,
τὸν Θεόν,
ὑπὲρ ἅπαντας ἠγάπησας.

Δαιμόνων ἐπτόηνται,
οἱ μισανθρωποι χοροί,
ἀγγέλων δὲ τὰ τάγματα,
καθορῶντά σε ἔχαιρον ἀσκητά,
μιμούμενον τέλειον,
τὴν αὐτῶν,
πολιτείαν ὡς ἀσώματον.

Θεοτοκίον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἡ δόξα σου Δέσποινα,
ὑπὲρ πᾶσαν νοεράν,
καὶ ὑλικὴν ὑπόστασιν,
πέλει ὄντωςπ εὐφραίνουσα τοὺς πιστούς,
καὶ ἡ παῤῥησία σου,
πρὸς Θεόν,
ὑπάρχει ἀκαταίσχυντος.

Ὠιδὴ ζ'. Ὁ εἱρμός.

Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο,
ἄγγελος τοῖς ὁσίοις παισί·
τοὺς χαλδαίους δὲ καταφλέγον πρόσταγμα Θεοῦ,
τὸν τύραννον ἔπεισε βοᾷν·
εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν.

Τροπάρια

Ἐλαυνόμενος τῇ χάριτι τοῦ Πνεύματος,
ᾤκησας ἐν ἐρήμῳ σκληρᾷ,
εὐφραινόμενος δὲ θεωρίαις μυστικαῖς,
τὸν Κύριον ἔβλεπες πρὸ σοῦ,
καταγλυκαίνοντα τὸ πικρόν,
τοῦ μισοψύχου ἐχθροῦ.

Ξενωθέντα κόσμου πάτερ διὰ Κύριον,
ἔγνωμεν ἀσκητῶν ἀρχηγόν,
πτοουμένους μὲν ἀνορθοῦντα ῥήμασι Θεοῦ,
ἑστῶτας δὲ ζήλῳ ἐκβοᾷν·
εὐλογητὸς εἶ  ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Αἱρετίζοντας κατέκαιες τοῖς λόγοις σου,
ὅσιε ὡς ῥομφαία πυρός,
ὀρθοδόξους δὲ διδάσκων τὴν πίστιν τὴν ἀληθῆ,

ἐστήριξας μένειν σταθηρῶς,
καὶ ὀρθοφρόνως ἀνυμνεῖν,
Θεὸν πατέρων ἡμῶν.

Θεοτοκίον

Παλαιότητα τῆς πτώσεως ἐκαίνισας,
Ἄχραντε τῇ γεννήσει τῇ σῇ,
καὶ ἀνθρώπων νοῦν ἐκάθηρας διὰ παντός,
τὸν Λόγον κυήσασα φρικτῶς·
ὃν εὐλογοῦμεν ἀεί,
ὡς τῶν πατέρων Θεόν.

Ὠιδὴ η'. Ὁ εἱρμός.

Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας,
καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας,
ἅπαντα γὰρ δρᾷς Χριστέ,
μόνῳ τῷ βούλεσθαι·
σὲ ὑπερυψοῦμεν,
εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια

Τοῖς διψῶσιν εὐχῇ σου ὕδωρ ἐπήγασας,
καὶ νοσοῦσιν ὑγείαν πάτερ ἀπέδωκας·
ἅπαντα γὰρ δρᾷ Χριστός,
ἐν τοῖς πιστεύουσι,
διὰ τῶν Ἁγίων,
εἰς πάντας τοὺς αἰῶνας.

Ἐν ἐρήμῳ σε εὗρε μέγας Μακάριος,
ὃν ὡς ἄγγελον πάτερ Θεοῦ εἰσδέδεξαι,
καὶ σειρὰν θαυμάσας τὴν αὐτοῦ,
εἴρηκας ὅσιε·

δύναμις πηγάζει,
πολλὴ ἐκ τῶν χειρῶν σου.

Ῥωμαλέως ὑπήνεγκας τὰ θροΐσματα,
τῶν δαιμόνων Ἀντώνιε παμμακάριστε,
ἐν τῇ ἐπικλήσει Ἰησοῦ,
θείου ὀνόματος,
ὅπερ ἡμῖν δίδου,
ὡς κλῆρόν σου πατρῷον.

Θεοτοκίον

Ὑπερέβης ἀγγέλων τὰ θεῖα τάγματα,
τὸν Χριστὸν ἐν ἀγκάλαις Σεμνὴ βαστάσασα,
καὶ πρεσβεύεις πάντοτε Αὐτῷ,
ὑπὲρ τῶν δούλων σου.
Ὅθεν σὲ ὑμνοῦμεν,
Παρθένε Θεοτόκε.

Ὠιδὴ θ'. Ὁ εἱρμός.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον,
ὃ οὐ τολμᾷ,
ἀγγέλων ἀτενίσαι τὰ τάγματα·
διὰ σοῦ δὲ Πάναγνε,
ὡράθη βροτοῖς,
Λόγος σεσαρκωμένος·
ὃν μεγαλύνοντες,
σὺν ταῖς οὐρανίαις στρατιαῖς,
σὲ μακαρίζομεν.

Τροπάρια

Γνησίως πάτερ Θεὸν ἠγάπησας,
καὶ ἐκτενῶς,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐκράτεις τὴν ἀγάπην ἀμείωτον,
δι᾽ αὐτῆς ᾽Αντώνιε,
ἀγῶνας τοὺς πρίν,
ὅλως οὐκ ἐλογίζου·
ὅθεν ἐξέτεινας,
πᾶσαν τῆς ψυχῆς σου τὴν ἰσχύν,
πρὸς νέα σκάμματα.

῾Ως ναῦς χριστόπνους ᾽Εδὲμ κατέφθασας,
ἔνθα ὁρᾷς,
῝Ον πάτερ ἐκ καρδίας ἐζήτησας,
καὶ αἰτεῖς ᾽Αντώνιε,
τὴν χάριν Θεοῦ,
ἐπὶ τὰ σὰ τεκνία,
ἵνα τελέσωμεν,
τὴν ὁδὸν ἀσκήσεως καλῶς,
ὡς ἐνηρξάμεθα.

Νικᾷ τὸν πόθον ψυχῆς μου ὅσιε,
τῶν ἀρετῶν,
τὸ μέγεθος καὶ πλῆθος θαυμάτων σου,
ὅθεν δέχου ὕμνον μου
πτωχὸν πατρικῶς,
καὶ χάριν ἀντιδίδου,
ὅπως τὸν βίον σου,
τὸν ἀγγελικὸν ἐκμιμηθῶ,
ὁ ὅλως γήϊνος.

Θεοτοκίον

᾽Αρχὴ καὶ μέσον καὶ τέλος Δέσποινα,
πάσης ᾠδῆς,
ὑπάρχεις χριστωνύμων καὶ ἥδυσμα,
διὸ πάντων γλύκανον
ψυχὰς μοναστῶν,

ὧδε ἐνασκουμένων,
καὶ κομιζόντων σοι,
τὸν χαιρετισμὸν ἀπὸ ψυχῆς·
Χαῖρε Πανάμωμε.

Στίχοι

*Ἐκτὸς κακίας δαιμόνων τήρει, Πάτερ,*
*τοὺς ἕκτην ᾠδήν ψάλλοντας μοναστάς σου.*

*Ἕτερα στιχηρὰ προσόμοια τοῦ ὁσίου Ἀντωνίου, ἀρχαῖα·*
Ἦχος δ'. *Ὡς γενναῖον ἐν μάρτυσι.*

Μοναστὴς πρῶτος πέφηνας, καὶ ἀστὴρ φαεινότατος, καὶ πηγὴ γενόμενος κατανύξεως, ἀγάπης ὤφθης ἀνάπλεως, παμμάκαρ Ἀντώνιε, συμπαθὴς καὶ ταπεινός, τῆς ἐρήμου τε πρώτιστος, οἰκιστὴς σοφέ, διὰ τοῦτο Χριστός σε ἐν τῷ κόσμῳ, ὡς Μωσῆν τε καὶ Ἠλίαν, καὶ Ἐλισαῖον ἐδόξασεν.

Ὡς ἀστέρα πολύφωτον, ὥς περ ἥλιον ἄδυτον, οὐρανὸν ὡς ἔμψυχον θείοις θαύμασι, καθάπερ ἄστροις κοσμούμενον, λειμῶνα ὡς εὔοσμον, ὡς παράδεισον τρυφῆς, ὡς πηγὴν ἁγιάσματος, ὡς παμμέγιστον, ἰατρὸν ἀσθενούντων ὡς ποιμένα, μοναζόντων καὶ προστάτην, ἡμῶν τιμῶμεν Ἀντώνιε.

Ἀγρυπνίαν παννύχιον, καὶ ἐγκράτειαν ἄφατον, προσευχὴν ἀθόλωτον βίον ἔνθεον, προσκεκτημένος Ἀντώνιε, δαιμόνων τὰς φάλαγγας, ἐτροπώσω ἀνδρικῶς, πρὸς Χριστοῦ δυναμούμενος, ὅθεν ἔτυχες, ὡς ἐπόθεις τῆς ἄνω κληρουχίας, μετ᾽ Ἀγγέλων συγχορεύων, θρόνῳ Θεοῦ παριστάμενος.

Ὑψωθεὶς ἐν τῷ Πνεύματι, τῷ ἁγίῳ πανόλβιε, διὰ ταπεινώσεως ἀναβέβηκας, εἰς ὕψος θεῖον Ἀντώνιε, θεωρὸς γενόμενος, μυστηρίων

φοβερῶν, καὶ τελῶν τὰ ἐξαίσια, καὶ ἰώμενος, πᾶσαν νόσον καὶ πνεύματα διώκων, πονηρίας διὰ τοῦτο, σὲ ἐπαξίως γεραίρομεν.

# ΗΧΟΣ ΠΛ.Α΄.

**Κανὼν πέμπτος, οὗ ἡ ἀκροστιχίς:**
*“Ἡ πέμπτη ἐκ τῶν τέκνων σου πανυμνῳδία.᾽Α(θανάσιος)”.*

ᾨδὴ α΄. Ὁ εἱρμός.

Ἵππον καὶ ἀναβάτην εἰς θάλασσαν ᾽Ερυθράν,
ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι,
Χριστὸς ἐξετίναξεν,
᾽Ισραὴλ δὲ ἔσωσεν,
ἐπινίκιον ὕμνον ᾄδοντα.

Τροπάρια

Ἦρας ἐπὶ τῶν ὤμων τὸν τοῦ Δεσπότου σταυρόν,
καὶ ἐρήμους ἀγόνους,
κατῴκησας ᾽Αντώνιε,
πληθύνας τὰ τάγματα,
μοναστῶν τῷ βίῳ σου,
καὶ τοῖς θαύμασιν οἷς κεκόσμησαι.

Πάντα καλῶς καθεῖλες τὰς ὀχυρώσεις σοφέ,
ὅτε λόγον Κυρίου,
ἐπ᾽ ἐκκλησίᾳ ἤκουσας,
οὐσίαν τὴν ἄπειρον,
τοῖς πτωχοῖς ἀφέμενος,
καὶ πτωχείαν ἐπιλεξάμενος.

᾽Εμάκρυνας τῶν παγίδων τοῦ κόσμου ᾽Αντώνιε,
ἐν τῷ τάφῳ οἰκήσας,

ὁ πάθη νεκρωσάμενος,
καὶ πλείστους ὑπήνεγκας,
πειρασμοὺς τρισόλβιε,
δι᾽ ἀγάπην τοῦ Διδασκάλου σου.

Θεοτοκίον

Μανίαν τοῦ πονηροῦ Κυρία κατάβαλε,
τοῦ ἐπιποθοῦντος ψυχὴν ὀλέσαι μου,
καὶ περίφραξόν με νοερῶς,
θείᾳ σου προστασίᾳ,
ὅπως τηρῶ τὰ παραγγέλματα,
τοῦ ἠγαπημένου Δεσπότου μου.

᾿Ωιδὴ γ'. ῾Ο εἱρμός.

῾Ο πήξας ἐπ᾽ οὐδενὸς τὴν γῆν τῇ προστάξει σου,
καὶ μετεωρίσας ἀσχέτως βρίθουσαν,
ἐπὶ τὴν ἀσάλευτον Χριστέ,
πέτραν τῶν ἐντολῶν σου,
τὴν ᾿Εκκλησίαν σου στερέωσον,
μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.

Τροπάρια

Πλατύνας τὴν σὴν ψυχὴν ὡς στόμα ᾿Αντώνιε,
τῷ Θεῷ ἐδέξω χάριν οὐράνιον,
καὶ ὑπερεξήρθης τῆς σαρκός,
σῶμα ὡς μὴ κατέχων,
καὶ τοῖς ἀγγέλοις ἐξωμοίωσαι,
ὧν τὴν πολιτείαν ἐζήλωσας.

Τηρήσας ἐπακριβῶς τοὺς ὅρους ἀσκήσεως,
πλοῦτον ἐκομίσω τῆς διακρίσεως,
δι᾽ ἧς καθωδήγησας σοφῶς,

πάτερ τοὺς μαθητάς σου,
ὥστε ἐκκλίνειν τῆς ἀκρότητος,
ἥν ὁδὸν δαιμόνων ἐκάλεσας.

Ἠγάπησας τὸν Θεὸν ἐξ ὅλης καρδίας σου,
δι᾽ ὃν ἐν ἐρήμῳ ἐξῆλθες ὅσιε,
ἀλλὰ καὶ τὸν πέλας ἐκ ψυχῆς,
ἠγάπησας συμμέτρως,
τὸ κατ᾽ εἰκόνα βλέπων πάντοτε,
ᾧ πᾶς τῶν ἀνθρώπων στολίζεται.

Θεοτοκίον

Ἐδέξω χαιρετισμὸν Ἀγγέλου Πανάμωμε,
καὶ καθυπετάγης Θεοῦ θελήματι·
ὅθεν Μήτηρ γέγονας Χριστοῦ,
τοῦ σώσαντος τὸ γένος,
ἡμῶν καὶ τοῦτο ἀναπλάσαντος,
εἰς τὸ ὅπερ ἔσχεν ἀξίωμα.

Κάθισμα. Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.

Μοναστῶν πέλων πάτερ πρῶτος διδάσκαλος,
καὶ ἀσκήσεως ὅριον χριστοέραστον,
τοὺς τιμῶντας σε πιστῶς σκέπε καὶ φύλαττε,
προσβολῶν δαιμονικῶν,
καὶ ἀκαθάρτων λογισμῶν,
Ἀντώνιε θεοφόρε,
ὅπως ἐν ὕμνοις ἐνθέοις,
ἀεὶ γεραίρωμεν τὸν βίον σου.

Ὠιδὴ δ'. Ὁ εἱρμός.

Τὴν θείαν ἐννοήσας σου κένωσιν,
προβλεπτικῶς ὁ Ἀββακούμ,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Χριστὲ ἐν τρόμῳ ἐβόα σοι·
εἰς σωτηρίαν λαοῦ σου,
τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

Τροπάρια

Κατέλυσας δαιμόνων τὰς φάλαγγας,
εὐελπιστῶν εἰς τὸν Χριστόν,
καὶ τὸν σταυρὸν θεῖον τρόπαιον,
κατέχων ἐν χερσί σου,
᾿Αντώνιε ἐστέφθης ὡς πολύαθλος.

Τηρήσας ἐν τοῖς πᾶσιν ἐγκράτειαν,
ἐπολιτεύθης θαυμαστῶς,
σαρκὶ οὐδόλως τὴν ἄνεσιν,
τῶν φθειρομένων παρέχων,
τοῦ κτήσασθαι τὴν Χάριν τοῦ Πνεύματος.
῾Ως πάντων ὑποκάτω τιθέμενος,
πνευματικῶς πάτερ σοφέ,
ἐχθροῦ ἐφαύλισας ἔπαρσιν,
τὴν τοῦ Χριστοῦ ἐνδεδυμένος,
πανέντιμον ταπείνωσιν ᾿Αντώνιε.

Θεοτοκίον

Νοσοῦσαν τὸν αἰώνιον θάνατον,
Παρθενομῆτορ ἀγαθή,
ἡμῶν τὴν φύσιν ἀνέστησας,
τῇ πρὸς Θεὸν ὑπακοῇ σου,
δι᾿ ἣν ἐμεγαλύνθης καὶ δεδόξασαι.

᾿Ωιδὴ ε'. ῾Ο εἱρμός.

῾Ο ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον,
πρὸς σὲ ὀρθρίζω καὶ σοὶ κραυγάζω·



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὴν ψυχήν μου φώτισον τὴν ἐσκοτισμένην,
Χριστὲ ὡς μόνος εὔσπλαγχνος.

## Τροπάρια

Τεῖχος ἀπροσμάχητον γενοῦ Ἀντώνιε,
τοῖς σοὶ ἐκ πόθου προσπεφευγόσι,
τοῦ ἐχθροῦ ὡς κνώδαλα πάσας τὰς παγίδας,
διαλύων ταῖς πρεσβείαις σου.

Ἐκ τῆς πέτρας ἔβλυσας ὕδωρ θαυμάσιε,
καὶ τοὺς διψῶντας μακράν σου ὄντας,
ἔσωσας καὶ ὤρθωσας θείᾳ ἱκεσίᾳ,
εἰς γῆν πεσόντας ἔρημον.

Κρῖνον ὡς πανεύοσμον ὤφθης μακάριε,
ἐξ ἀρετῶν σου εὐωδιάζων,
καὶ πιστῶν τὴν αἴσθησιν ἐπανασκευάζων,
σοφῶς πρὸς θείαν ἔννοιαν.

## Θεοτοκίον

Νοῦν μου περιτρέχοντα ὥσπερ ἀδέσποτον,
καὶ ἀτακτοῦντα Θεοκυῆτορ,
ταῖς εὐχαῖς σου ἕνωσον τῷ γλυκεῖ Δεσπότῃ,
Χριστῷ ἐξ οὗ ἀφίσταται.

## Ὠιδὴ στ'. Ὁ εἱρμός.

Μαινομένην κλύδωνι,
ψυχοφθόρῳ Δέσποτα Χριστέ,
τῶν παθῶν τὴν θάλασσαν κατεύνασον,
καὶ ἐκ φθορᾶς,
ἀνάγαγέ με ὡς εὔσπλαγχνος.

## Τροπάρια

῾Ωραιώθη ὅσιε,
ἡ πρὶν στεῖρα ἔρημος ἐν σοί,
μοναστῶν τὰς φάλαγγας ἐκθρέψασα,
τὸν ᾿Ιησοῦν,
ἀεὶ ὑμνούσας ὡς ἄγγελοι.

Νόας θείους ἔδειξας,
μαθητάς σου θείαις διδαχαῖς,
γεηρῶν ἀφίστασθαι ᾿Αντώνιε,
καὶ τὸν Χριστόν,
θηρᾶν ὡς θήραμα ἄξιον.

Στήσας τὴν παλαίστραν σου,
ἐν Αἰγύπτῳ ἔῤῥαξας ἐχθρούς,
καὶ παθῶν τὰ τείχη τὰ στερέμνια,
καταβαλών,
Θεῷ συνήφθης ᾿Αντώνιε.

## Θεοτοκίον

Οὐρανὸν ἀνάδειξον,
νοῦν μου Κόρη ἐν ÷ˇῷ νοητός,
ἥλιος Χριστὸς ἀεὶ αὐγάζειν με,
καὶ τῷ φωτὶ,
Σιὼν τῆς ἄνω ἀξιώσαι με.

## ᾿Ωιδὴ ζ'. ῾Ο εἱρμός.

῾Ο ὑπερυψούμενος τῶν πατέρων Κύριος,
τὴν φλόγα κατέσβεσε,
τοὺς παῖδας ἐδρόσισε,
συμφώνως μελῳδοῦντας·
ὁ Θεὸς εὐλογητός εἶ.

## Τροπάρια

Ὑπὲρ τὰ ὁρώμενα λογισμὸν συνάψας σου,
ἐντεῦθεν ἐβίωσας,
μελλόντων τὰ βέβαια,
ἀσκήσει τῇ ὑπερλόγῳ,
δι᾽ ἀγάπην τοῦ Κυρίου.

Πάντα καθυπέταξας Θεῷ τὰ ἀντίθετα,
᾽Αντώνιε πάνσοφε,
διὸ χάριν εἴληφας,
ἰᾶσθαι τοὺς νοσοῦντας,
καὶ τοὺς δαίμονας διώκειν.
Ἄνωθεν ἐγνώρισας Παύλου τὴν φιλόθεον,
ζωὴν καὶ τὴν ἄσκησιν,
καὶ τρέχων προέλαβες,
θανὴν τὴν τούτου πάτερ,
ὃν ἐκήδευσας ἐντίμως.

## Θεοτοκίον

Νάματά μοι δώρησαι δακρύων Παναμώμητε,
δι᾽ ὧν καθαρθήσομαι,
καὶ χάριν πρωτόκτιστον,
λαβεῖν δυνηθήσομαι,
ταῖς εὐχαῖς σου πρὸς Δεσπότην.

## ᾽Ωιδὴ η'. Ὁ εἱρμός.

Σοὶ τῷ παντουργῷ,
ἐν τῇ καμίνῳ Παῖδες,
παγκόσμιον πλέξαντες,
χορείαν ἔμελπον·
πάντα τὰ ἔργα,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὸν Κύριον ὑμνεῖτε,
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

## Τροπάρια

Ὕψωσον ἡμῶν,
καρδίας θεοφόρε,
ἐκ γῆς πρὸς οὐράνια,
ἵνα βοῶμέν σοι·
δεῦτε συμφώνως,
ὑμνήσωμεν πατέρα,
καὶ ἡμῶν προστάτην,
Ἀντώνιον τὸν μέγαν.
Μάρτυς ἀληθής,
δειχθεὶς τῇ προαιρέσει,
ἀγάπην πρὸς Κύριον,
παμμάκαρ ἐφανέρωσας,
ὅθεν εὐλόγει,
τὰ τέκνα σου ἀθλοῦντα,
καὶ ζωὴν τὴν ὄντως,
Ἀντώνιε ποθοῦντα.

Νόσος οὐδαμῶς,
τὸ σῶμα ἔβλαψέ σου,
δυνάμει τῆς χάριτος,
ἣν ἔπνεις ὁσιώτατε,
διὸ εἰρηναίως,
παρέδωκας ψυχήν σου,
τῷ καλῷ Δεσπότῃ,
καὶ θείῳ ἀθλοθέτῃ.

## Θεοτοκίον

Ὡς τοῦ ἀγαθοῦ,
Δεσπότου Μήτηρ οὖσα,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Παρθένε ἱκέτευε,
ἡμᾶς ρυσθῆναι ἅπαντας,
πάσης ἀνάγκης καὶ θλίψεως δαιμόνων,
ὅπως εὐλογῶμεν,
Ἁγνὴ τὸ ὄνομά σου.

Ὠιδὴ θ'. Ὁ εἱρμός.

Ἠσαΐα χόρευε,
ἡ Παρθένος ἔσχεν ἐν γαστρί,
καὶ ἔτεκεν υἱὸν τὸν Ἐμμανουήλ,
Θεόν τε καὶ ἄνθρωπον,
Ἀνατολὴ ὄνομα αὐτῷ·
ὃν μεγαλύνοντες,
τὴν Παρθένον μακαρίζομεν.

Τροπάρια

Διδαχὴ χριστόφθογγος,
βίος ἅπας ἦν πάτερ ὁ σός,
προτρέπουσα μαθητάς,
πρὸς τὴν τοῦ Θεοῦ,
καλὴν ἐξομοίωσιν,
πίστει ὀρθῇ ἔργοις τε χρηστοῖς,
δι᾽ ὧν εἰσέρχεται,
πᾶς πιστὸς εἰς τὸν παράδεισον.

Ἱλαρὸς τὸ πρόσωπον,
τὴν καρδίαν ἡσυχαστικός,
ἐφαίνου καὶ ποθεινός,
πάτερ τοῖς πιστοῖς,
ἐγίνου ὁπόταν σοι,
ἠξιοῦντο πόθῳ συντυχεῖν,
οἰκοδομούμενοι,
τῇ σοφῇ διδασκαλίᾳ σου.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀπαθὴς γενόμενος,
ἠξιώθης χώρας ἀπαθῶν,
Ἀντώνιε κοιμηθείς, ἔνθεν πατρικῶς,
μνημόνευε ἅπαντας,
τοὺς τιμῶντας μνήμην σου φαιδράν,
καὶ περιφύλαττε,
τὴν Μονήν σου ταύτην ἄσειστον.

Θεοτοκίον

Ἀθανάτου βρώσεως,
συμμετόχους δεῖξον σοῦ Υἱοῦ,
τοὺς μέλποντας ἐκ ψυχῆς,
τόκον σου φρικτόν,
καὶ δόξαν αἰώνιον,
μεγαλύνοντάς σου Ἀγαθή·
ἔχεις τὸ δύνασθαι,
ὡς τὸν Ὕψιστον κυήσασα.

Στίχοι

*Αἰσθήσεων ἅγνισον πεντάδα Πάτερ,*
*τῶν πέμπτον ὕμνον πόθῳ σοὶ προσφερόντων.*

## ΗΧΟΣ Α΄.

**Κανὼν πρῶτος, οὗ ἡ ἀκροστιχίς:**
*“Σοὶ τῷ μοναχοπάτορι αἴνεσις Ἀντωνίῳ. Α(θανάσιος)”.*

Ὠιδὴ α΄. Ὁ εἱρμός.

Σοῦ ἡ τροπαιοῦχος δεξιά,
θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται,
αὕτη γὰρ ἀθάνατε,

ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε,
τοῖς Ἰσραηλίταις,
ὁδὸν βυθοῦ καινουργήσασα.

## Τροπάρια

Σὲ τὸν ἀρχηγὸν τῶν μοναστῶν,
ἡ ἀδελφότης Μονῆς σου Ἀντώνιε,
ᾄσμασι δοξάζουσα,
τὰς πατρικὰς προσευχὰς καὶ πρεσβείας σου,
νῦν αἰτεῖται πόθῳ,
ἀνευφημοῦσα τὸν βίον σου.

Ὁ φιλοψυχότατος Σωτήρ,
ὁ θέλων πάντας σωθῆναι ἐκάλεσεν,
ὅσιε Ἀντώνιε,
σὲ ἐν ἀκμῇ ἡλικίας ὑπάρχοντα,
καὶ ἀνέδειξέ σε,
πλήθους ὁσίων ἡγήτορα.

Ἵνα ἐντολῆς τοῦ Ἰησοῦ,
ἀναφανῇς πληρωτὴς παμμακάριστε,
πᾶσάν σου διένειμας,
περιουσίαν πτωχοῖς προελόμενος,
ζῆσαι ἐν πτωχείᾳ,
καὶ ἀκτησίᾳ Ἀντώνιε.

## Θεοτοκίον

Τῆς ἁγνείας γέγονας λαμπρόν,
καὶ ἱερώτατον τέμενος Πάναγνε,
ὡς Θεὸν γεννήσασα,
τὸν τὴν ἁγνείαν ἐξόχως τιμήσαντα,
καὶ ἀνθρώπων γένει,
ταύτην σαφῶς ὑποδείξαντα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ᾨδὴ γ'. Ὁ εἱρμός.

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν,
οὐσίας τὴν ἀσθένειαν,
καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος,
περίζωσόν με ἐξ ὕψους δύναμιν,
τοῦ βοᾷν σοι· Ἅγιος,
ὁ ναὸς ὁ ἔμψυχος,
τῆς ἀφράστου σου δόξης Φιλάνθρωπε.

## Τροπάρια

Ὡς εἴληφας πῦρ τὸ θεϊκόν,
καρδίᾳ σου Ἀντώνιε,
ἐν τῇ ἐρήμῳ προθύμως ἐσκήνωσας,
ἀπεκδυθῆναι Ἀδὰμ ἱμάτιον,
καὶ Χριστὸν ἐνδύσασθαι,
διὰ τῆς ἀσκήσεως,
γεγονὼς ἡμῖν τύπος πανάριστος.

Μακρύνων ἐμάκρυνας σοφῶς,
ζητῶν Ὃν ἐπόθησας,
καὶ ὡς στρουθὸς ἡσυχάζων ἐκραύγαζες·
πότε ὀφθήσομαι τῷ προσώπῳ σου,
καταπαύων Κύριε,
καὶ σκηνώσω Ἅγιε,
βασιλείας τῆς θείας σκηνώμασι;

Ὁ πάθη νεκρώσας τῆς σαρκός,
μνημείῳ σαὐτὸν ἔκλεισας,
τὴν ζωηφόρον στοχεύων νέκρωσιν,
ἐγκαρτερήσας κλεινὲ Ἀντώνιε,
ἀντιπάλων ἔνστασιν,
ὧν εὐχαῖς σου ἔτρεψας,

εἰς φυγὴν τὰ ἀνίσχυρα τάγματα.

Θεοτοκίον

Νικήσασα βίου ἡδονάς,
Παρθένε Παναμώμητε,
τὴν τοῦ ῾Αγίου ἐφείλκυσας Πνεύματος,
ἁγνότητί σου χάριν πρὸς σύλληψιν,
τοῦ Δεσπότου κτίσεως,
μείνασα ἀμόλυντος,
ὡς ναὸς θεότευκτος,
ἣν ὑμνοῦντες πιστοὶ οὐ παυόμεθα.

Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου, Σωτήρ.

Τὸν βίον τοῦ Χριστοῦ,
ἐν σαὐτῷ φανερώσας,
᾿Αντώνιε ποιμήν,
μοναστῶν πρῶτος ὤφθης,
καὶ πλήθη ἐφείλκυσας,
πρὸς ὁσίαν σου μίμησιν·
ὅθεν φύλαττε,
τὴν ἱερὰν Μάνδραν ταύτην,
καὶ ἱκέτευε,
τὸν ᾿Ιησοῦν ἀενάως,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

᾿Ωιδὴ δ'. ῾Ο εἱρμός.

Ὄρος σε τῇ χάριτι,
τῇ θείᾳ κατάσκιον,
προβλεπτικοῖς ὁ ᾿Αββακούμ,
κατανοήσας ὀφθαλμοῖς,
ἐξ οὗ ἐξελεύσεσθαι,
τοῦ ᾿Ισραὴλ προανεφώνει τὸν Ἅγιον,

εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

## Τροπάρια

Ἄνωθεν Ἀντώνιε,
ὁ Κύριος ἐπέβλεπε,
ἀγῶνάς σου πρὸς δαίμονας
στέφος κρατῶν ἐν τῇ χειρί,
ὅ σοι ἐχαρίσατο,
ὅτε ἐφώνησας αὐτῷ ἀποκαμών·
ποῦ εἶ ὦ Δέσποτα, σπεῦσον βοήθει μοι;

Χάριν σοι προσέθετο,
ὁ στεφοδότης ὅσιε,
ἀγάπην ἐπιδείξαντι,
πρὸς περαιτέρω συμπλοκάς,
ὅθεν βασιζόμενος,
εἰς τέλος ἀπενεύρωσας ἐχθρούς,
καὶ τούτοις φόβος ἐγένου Ἀντώνιε.

Ὄρος τὸ ἐσώτερον
κατῴκησας Ἀντώνιε,
περισπασμῶν μακρυνόμενος
καὶ σαὐτὸν ἀνέθου τῷ Θεῷ,
κόρακας ἐκτρέφοντι,
διδόντι τε ἄνθεσι τὸ εὔχροον,
καὶ ἀριθμοῦντι ἀνθρώπων πλῆθος ἄμετρον.

## Θεοτοκίον

Πύλη Σεμνὴ γέγονας
πιστῶν πρὸς Παράδεισον,
κυοφορήσασα τὸν Ἄναρχον,
ὃν ἐκδυσώπησον ἀεί,
τοῦ δοῦναι συγχώρησιν,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

σφαλμάτων ὧν πράττομεν ἑκάστοτε·
Οὗτος γὰρ Θεός,
ἡμεῖς δὲ ἄνθρωποι.

Ὠιδὴ ε'. Ὁ εἱρμός.

Ὁ φωτίσας τῇ ἐλλάμψει.
τῆς σῆς παρουσίας Χριστέ
καὶ φαιδρύνας τῷ Σταυρῷ σου
τοῦ κόσμου τὰ πέρατα
τὰς καρδίας φώτισον φωτί,
τῆς σῆς θεογνωσίας
τῶν ὀρθοδόξως ὑμνούντων σε.

Τροπάρια

Ἀγαπήσας τὸ μονάζειν
ὡς φιλέρημος πάτερ στρουθός,
ἐν σπηλαίοις τε καὶ ὄρεσι
κατῴκεις ὡς ἄσαρκος,
ἔχων εὐχὴν τὴν ἀένναον τροφήν,
καὶ γλυκύτατον πόμα
τὸν δροσισμὸν τῶν δακρύων σου.

Τὰ μακρὰν ὡς ἑστῶτα
ἐθεώρεις δυνάμει Χριστοῦ,
καὶ ψυχῶν τὰ κεκρυμμένα
ἐφανέρους Ἀντώνιε·
πρὸς μετάνοιαν ἄγων τοὺς πέλοντάς σοι
καὶ καθαρὰν ἐξομολόγησιν
πατρικῶς ὁσιώτατε.

Ὁ Δεσπότου σου ἔρως
καθ᾽ ἡμέραν ἔτι σε κατένυσσε
καὶ ἀγάπην τὴν πρώτην



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῆς ψυχῆς σου ὑπέκκαιε·
καὶ θεὸν ἐπίγειον ἐδείκνυ σε
τοῖς ἐρχομένοις πλήθεσι
καὶ θαυμασίοις σε ἐδόξαζε.

Θεοτοκίον

῾Ρῆμα ἤκουσας Κόρη
᾿Αρχαγγέλου καὶ συνέλαβες
τὸν ὑπεραγνώστως τὸν κόσμον
πρὸ αἰώνων ποιήσαντα.
Διὸ ἐν τῷ τόκῳ σου ἐμεγαλύνθης
καὶ γενεαὶ πᾶσαί σε
ὡς Θεοτόκον ἀεὶ μεγαλύνουσι.

᾿Ωιδὴ στ'. ῾Ο εἱρμός.

Τὸν προφήτην ᾿Ιωνᾶν,
ἐκμιμούμενος βοῶ·
τὴν ζωήν μου ἀγαθέ,
ἐλευθέρωσον φθορᾶς,
καὶ σῶσόν με,
Σωτὴρ τοῦ κόσμου,
κράζοντα δόξα σοι".

Τροπάρια

῾Ιερέων τὴν τιμήν,
οὐκ ἠθέλησας λαβεῖν,
ταπεινώσει σου πολλῇ,
ἀλλ᾿ ἐτύθης σεαυτόν,
᾿Αντώνιε,
ὡς ἱερεῖον,
Χριστὸν μιμούμενος.

᾿Αγαπήσας τὸν Θεόν,
ὑπὲρ πάντα ἐν ζωῇ,
ἐξεζήτησας αὐτόν,
ἀγωγαῖς ἀσκητικαῖς,
καὶ εἴληφας,
πάτερ ἐντεῦθεν,
ζωὴν τερψίψυχον.

῾Ιλεούμενος Χριστόν,
μὴ ἐλλείπης ἀσκητά,
ὑπὲρ Μάνδρας σου μικρᾶς,
καὶ τεκνίων σου πτωχῶν,
ἀλλ᾽ ἔνδειξον,
τὰ πατρικά σου,
σπλάγχνα ᾿Αντώνιε.

Θεοτοκίον

Νίκησόν μου τὰ πολλά,
ἁμαρτήματα ῾Αγνή,
τὰ σπιλοῦντα τὴν ψυχήν,
καὶ χωρίζοντα Χριστοῦ,
πρεσβεύουσα,
ἀδιαλείπτως,
τῷ ἐκ γαστρός σου,
τεχθέντι Δέσποινα.

᾿Ωιδὴ ζ'. ῾Ο εἱρμός.

Σὲ νοητήν Θεοτόκε κάμινον
κατανοοῦμεν οἱ πιστοί·
ὡς γὰρ παῖδας ἔσωσε τρεῖς
ὁ ὑπερυψούμενος,
ὅλον με τὸν ἄνθρωπον
ἐν τῇ γαστρί σου ἀνέπλασεν,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

## Τροπάρια

Ἔσχες πολὺν τὸν θυμὸν Ἀντώνιε
κατὰ αἱρέσεων δεινῶν·
διὸ Ἀθανάσιον κλεινὸν
πᾶσι ὑπεδείκνυες
τὸν ἀρειομάστιγα,
ὀρθοδοξίαν κηρύττοντα
καὶ Θεὸν εἶναι τὸν Λόγον
τῷ Πατρὶ ὁμοούσιον.

Σῶμα ὑπήγαγες τῷ πνεύματι
ὡς δοῦλον κυριεύοντι·
ὅθεν ἠξιώθης θεωριῶν
ὑπὲρ φύσιν βλέπειν
κρίσιν τε ψυχῶν
καὶ πάγας τοῦ δαίμονος,
ἃς ταπείνωσιν ἐνδυσάμενος
διῆλθες ἄτρωτος.

Ἴασιν παρέσχες πάσχουσι
τὸν Χριστὸν ἐπικαλούμενος,
καὶ δαιμόνια ἐξέβαλες
ἀνθρώπους βασανίζοντα,
τῷ τύπῳ τοῦ σταυροῦ·
ὃν ὡς ὅπλον ἀπροσμάχητον
ἐν παντὶ ἐχρῶ Ἀντώνιε,
νικῶν ἀντικείμενον.

## Θεοτοκίον

Σὺ μου εἶ ἡ δύναμις



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

κατὰ ἐχθροῦ Πανάμωμε
ὅτι πᾶσα μου ἐξέλιπεν ἰσχύς·
ὅθεν μὴ βραδύνῃς δέομαι
δεῖξαι δυναστείαν σου
καὶ τὴν μητρικήν σου ἀγάπην,
ἧς οὐκ εἰμι ὅλως ἄξιος.
ὅτι Χριστὸν πολλάκις λελύπηκα.

᾿Ωιδὴ η'. ῾Ο εἱρμός.

᾿Εν καμίνῳ παῖδες ᾿Ισραήλ,
ὡς ἐν χωνευτηρίῳ
τῷ κάλλει τῆς εὐσεβείας
καθαρώτερον χρυσοῦ
ἀπέστιλβον λέγοντες·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον,
ὑμνεῖτε καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια

᾿Αναβάσεις ἔθου νοεράς,
ἐν τῇ πανερήμῳ,
δυνάμει τῆς ἐγκρατείας
καὶ νηστείας κραταιᾶς,
᾿Αντώνιε ὅσιε·
εὐλογῶν ἐκ καρδίας Δεσπότην φιλάνθρωπον,
τὸν ἐκλέξαντά σε,
ἐκ τῆς ὀμίχλης κόσμου.

Νικητὴς ἐδείχθης τοῦ ἐχθροῦ
ὅν περ ὡς στρουθίον
ποσί σου συνέτριψας
ταπεινώσει καὶ εὐχῇ
ὡς θεῖος ταξίαρχος·
καὶ ἰατρεῖον τὴν ἔρημον ὅσιε πεποίηκας,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

πάντας τοὺς νοσοῦντας,
ἰώμενος ἀγάπῃ.
Τὸν ἁπλοῦν σου πάτερ μαθητήν,
ἐν ὀλίγοις ἀνέδειξας
Παῦλον θεοφόρον·
ἐν ἁπλότητι γὰρ Χριστὸς
καὶ ταπεινώσει θεραπεύεται
τῆς Χάριτός τε τὴν δύναμιν ἐπιδείκνυσι,
εἰς καθαίρεσιν ὑψωμάτων,
ὁ ταπεινοὺς δοξάζων.

Θεοτοκίον

Ὡς συνείληφας Κόρη τὸν Θεὸν
ἐν γαστρὶ τῇ ἁγίᾳ σου
ὑπερβολῇ ἁγνείας
καὶ ταπεινώσεως ἀκρότητα,
οὕτω ἀξίωσόν με
ἐν ἁγνείᾳ καὶ ταπεινώσει πορεύεσθαι,
εἰς σύλληψόν μοι μυστικὴν
τοῦ Υἱοῦ καὶ Θεοῦ σου.

Ὠιδὴ θ'. Ὁ εἱρμός.

Τύπον τῆς ἁγνῆς λοχείας σου,
πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος·
καὶ νῦν καθ᾽ ἡμῶν,
τῶν πειρασμῶν ἀγριαίνουσαν,
κατασβέσαι αἰτοῦμεν τὴν κάμινον·
ἵνα σε Θεοτόκε,
ἀκαταπαύστως μεγαλύνωμεν.

Τροπάρια

Νόας ὑπερῆρας ὅσιε,

τῇ ἀσωμάτῳ πολιτείᾳ καὶ τρόποις σου,
δι᾽ ὧν νοερῶν,
καὶ ἐναντίων δυνάμεων,
κραταιῶς ἐξεφαύλισας δύναμιν,
καὶ στύλος μοναζόντων,
ὤφθης ᾽Αντώνιε τρισμέγιστε.

Ἴδε τῶν σῶν τέκνων σύναξιν,
ἐξ οὐρανοῦ θεοφόρε ᾽Αντώνιε,
καὶ εὐλόγησον,
ταύτην ταῖς θείαις πρεσβείαις σου,
πρὸς Δεσπότην Χριστὸν Ὃν κατείληφας,
καὶ τούτου τὴν ἀγάπην,
ἐν ταῖς καρδίαις ἡμῶν φύτευσον.

Ὡς τῆς πανερήμου βλάστημα,
καὶ τῶν σπηλαίων γενναῖον οἰκήτορα,
τοὺς τὴν ἔρημον,
ταύτην οἰκοῦντας ᾽Αντώνιε,
διὰ πόθον Κυρίου ἁγίασον,
καὶ μιμητὰς σοῦ βίου,
ἡμᾶς ἀνάδειξον φιλότεκνε.

Θεοτοκίον

Ἄνω τὴν ψυχήν μου ὕψωσον,
πεσοῦσαν Μῆτερ ἐν βυθῷ ἀπογνώσεως,
καὶ ἀξίωσον,
ἐν μετανοίᾳ τὸν βίον μου,
περαιῶσαι ὡς θέλει ὁ Κύριος,
καὶ θείας βασιλείας,
μέτοχον δείξαις με πρεσβείαις σου.

Στίχοι


ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὕψωσον ἄνω ψυχήν μου καὶ καρδίαν,*
*τοῦ θεωρεῖν ,Ἀντώνιε, τὸν Δεσπότην.*

# ΗΧΟΣ Δ᾽.

**Κανὼν τέταρτος, οὗ ἡ ἀκροστιχίς:**
*“Δέξαι αἶνον τέταρτον ἐξ ἡμῶν, θεῖε Πάτερ.Ἀ(θανάσιος)”.*

Ὠιδὴ α᾽. Ὁ εἱρμός.

Ἀνοίξω τὸ στόμα μου,
καὶ πληρωθήσεται Πνεύματος,
καὶ λόγον ἐρεύξομαι,
τῇ βασιλίδι Μητρί,
καὶ ὀφθήσομαι,
φαιδρῶς πανηγυρίζων,
καὶ ᾄσω γηθόμενος,
ταύτης τὰ θαύματα.

Τροπάρια

Διδάσκαλε μέγιστε,
τῶν μοναστῶν θεῖον πρότυπον,
Ἀντώνιε ὅσιε,
τέκνα σου δίδαξον,
ἥνπερ ἔσχηκας,
ἀγάπην πρὸς Δεσπότην,
δι᾽ Ὃν καὶ ἀνείληφας,
σταυρὸν ἀσκήσεως.

Ἐρήμου τὸ ἄγονον,
σαῖς προσευχαῖς ἐγεώργησας,
καὶ ταύτης τὸ ἄνικμον,
γόνιμον ἔδειξας,

τοῖς δακρύοις σου,
Ἀντώνιε τρισμάκαρ,
ὡς βίον τὸν κρείττονα,
ἐπιλεξάμενος.

Ξενίζει τὰ ἆθλά σου,
τοὺς μὴ εἰδότας τοῦ Πνεύματος,
Ἁγίου τὰς χάριτας,
πάτερ Ἀντώνιε·
σὺ γὰρ πέφυκας,
αὐτοῦ ἅρμα θεῖον,
ἐξ οὗ καὶ μεμάθηκας,
τὰ ὑπὲρ νόησιν.

Θεοτοκίον

Ἁγνὴ Παναμώμητε,
τῶν μοναζόντων βοήθεια,
ἀεὶ ἐπιφάνηθι,
τοῖς καλουμένοις σου,
τὸ χαρμόσυνον,
ὄνομα καὶ τὴν κλῆσιν,
τὴν χάριν βραβεύουσα,
τοῦ θείου Τόκου σου.

Ὠιδὴ γ'. Ὁ εἱρμός.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε,
ὡς ζῶσα καὶ ἄφθονος πηγή,
θίασον συγκροτήσαντας,
πνευματικὸν στερέωσον,
καὶ ἐν τῇ θείᾳ δόξῃ σου,
στεφάνων δόξης ἀξίωσον.

Τροπάρια



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἰάσεις ποικίλας ἐπετέλεις,
δυνάμει Κυρίου Ἰησοῦ,
Ἀντώνιε θεσπέσιε,
ὑγείαν χαριζόμενος,
τοῖς ἀσθενείαις πάσχουσι,
φιλανθρωπίᾳ κινούμενος.

Ἀκτήμων χρυσοῦ καὶ ἀργυρίου,
καὶ πλούσιος ὤφθης ἐκ Χριστοῦ,
πανόσιε Ἀντώνιε,
διὸ πολλοὺς ἐπλούτισας,
τῷ θησαυρῷ τῶν λόγων σου,
καὶ τῷ Δεσπότῃ συνήρμοσας.
Ἰδίων προέκρινας τῶν πέλας,
Ἀντώνιε πάτερ στοργικῶς,
ὁρῶν τὸ καθ᾿ ὁμοίωσιν,
ἐν τούτοις καὶ τὴν τύπωσιν,
τοῦ Ἰησοῦ καὶ ἔσπευδες,
διακονεῖν ἐν τοῖς χρῄζουσι.

Θεοτοκίον

Νικᾷ με Παρθένε συνηθείας,
κακῆς ἐπανάληψις τὸν νοῦν,
καὶ ὅλον παραλύει με,
τοῦ Ἰησοῦ χωρίζουσα,
διό μοι δὸς τὴν δύναμιν,
τῆς ἀπ᾿ αὐτῆς διαστάσεως.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀντώνιε ὅσιε,
τῶν ἀσκητῶν ἡ κρηπίς,
Μονὴν τὴν τιμῶσάν σε,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀπὸ παντοίων κακῶν,
καὶ θλίψεων φύλαττε·
χάριζε ἀσκουμένοις,
τοῦ Δεσπότου ἀγάπην,
δίδου εὐχῆς τὴν χάριν,
καὶ εἰρήνην καρδίας,
ἵνα σε εὐγνωμόνως,
πάντες δοξάζωμεν.

## Ὠιδὴ δ'. Ὁ εἱρμός.

Ὁ καθήμενος ἐν δόξῃ,
ἐπὶ θρόνου Θεότητος,
ἐν νεφέλῃ κούφῃ,
ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος,
τῇ ἀκηράτῳ παλάμῃ καὶ διέσωσε,
τοὺς κραυγάζοντας·
δόξα Χριστὲ τῇ δυνάμει σου.

## Τροπάρια

Ὁ ψυχώλεθρος διώκτης,
Ἑωσφόρος συνήγαγε,
τῶν δαιμόνων πλήθη,
κατὰ σοῦ παμμάκαρ Ἀντώνιε,
ὅπως τὸν νοῦν ἀποσπάσῃ τοῦ Δεσπότου σου,
ἀλλὰ ἥττηται,
ὑπομονῇ ἀκραδάντῳ σου.

Νοῦν ἑνώσας τῇ καρδίᾳ,
δι᾽ εὐχῆς καὶ τῆς νήψεως,
ὅλος συνεκράθης,
τῷ Κυρίῳ πάτερ Ἀντώνιε,
καὶ ψυχικάς σου δυνάμεις συνήνωσας,
εἰς καθαίρεσιν,

ὀχυρωμάτων ἀλάστορος.

Τὴν λαμπράν σου καρτερίαν,
κατεθαύμασαν ἄγγελοι,
ὅτε ἐν μνημείῳ,
κέκλεισαι Ἀντώνιε ὅσιε,
καὶ τὰς βασάνους ἀνδρείως ὑπέμεινας,
ὡς οἱ μάρτυρες,
ἐν τοῖς σταδίοις ἐνήθλησαν.

Θεοτοκίον

Ἐκαλλώπισας τὴν φύσιν,
τῶν ἀνθρώπων Θεόνυμφε,
ἣν ὁ ἀποστάτης,
πάλαι τῇ ἀπάτῃ ἠμαύρωσε,
καὶ τὴν ὁδὸν πρὸς Δεσπότην ἐλείανας·
ὅθεν ἅπαντες,
ὑμνολογοῦμεν τὸν τόκον σου.

Ὠιδὴ ε'. Ὁ εἱρμός.

Ἐξέστη τὰ σύμπαντα,
ἐπὶ τῇ θείᾳ δόξῃ σου,
σὺ γάρ, ἀπειρόγαμε Παρθένε,
ἔσχες ἐν μήτρᾳ,
τὸν ἐπὶ πάντων Θεόν,
καὶ τέτοκας ἄχρονον Υἱόν,
πᾶσι τοῖς ὑμνοῦσί σε,
σωτηρίαν βραβεύοντα.

Τροπάρια

Τῇ χάριτι ὅσιε,
ἣν σοι Χριστὸς δεδώρηται,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

φύσιν καθυπέταξας ἀλόγων,
διὸ θηρία,
κῆπόν σου βλάπτοντα,
λόγοις ἐπετίμησας φαιδρῶς,
καὶ δεσμὸν ἐπέβαλες,
τοὺς καρποὺς μὴ λυμαίνεσθαι.

᾿Αρείου ψυχώλεθρον,
τὴν αἵρεσιν κατέβαλες,
θείῳ φωτισμῷ πᾶσι διδάσκων,
Θεὸν τὸν Λόγον εἶναι συνάναρχον,
τῷ Πατρὶ καὶ Πνεύματι ὁμοῦ,
ἐν μιᾷ θεότητι,
συνενῶν τρία πρόσωπα.

῾Ρητόρων ἀπέδειξας,
τοὺς λόγους φληναφήματα,
ὅτε σε ἐπείρασαν ἀφρόνως,
καὶ παίδων τούτους ἐλάττους ἔκρινας,
ὅθεν κατεθαύμασαν τὴν σήν,
σύνεσιν ᾿Αντώνιε,
ᾗ κεκόσμησο ἄνωθεν.

Θεοτοκίον

Τὸν νοῦν μου καθάρισον,
ἐκ λογισμῶν Πανάχραντε,
τῶν ἐμποδιζόντων θείαν μνήμην,
καὶ ἀντὶ τούτων δός μοι ἀείποτε,
κατευφραντικῶς ἐκμελετᾶν,
᾿Ιησοῦ τὸ ὄνομα,
τὸ γλυκὺ καὶ σωτήριον.

᾿Ωιδὴ στ'. ῾Ο εἱρμός.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὴν θείαν ταύτην καὶ πάντιμον,
τελοῦντες ἑορτὴν οἱ θεόφρονες,
τῆς Θεομήτορος,
δεῦτε τὰς χεῖρας κροτήσαντες,
τὸν ἐξ αὐτῆς τεχθέντα,
Θεὸν δοξάζοντες.

### Τροπάρια

Ὁδὸν μακρὰν πάτερ ὥδευσας,
καὶ εὗρες θησαυρὸν ἀνεκτίμητον,
Παῦλον τὸν ὅσιον,
ὃν καὶ θανόντα ἐκήδευσας,
μαθὼν τὸν βίον τούτου,
καὶ κατορθώματα.
Νεάζον ἔσχηκας φρόνημα,
διὸ καὶ τῆς νεότητος ἄθλησιν,
οὐκ ἐγκατέλιπες,
μέτρον τηρῶν ἀπαράβατον,
τῇ θείᾳ διακρίσει,
πάτερ Ἀντώνιε.

Ἡνίοχός τις ὡς ἔμπειρος,
δυνάμεις τῆς ψυχῆς σου κατηύθυνας,
πρὸς τὴν ἀγάπησιν,
τοῦ Ἰησοῦ Ὃν καὶ ἔφθασας,
παρ᾽ Οὗ καὶ θείῳ στέφει,
πάτερ κατέστεψαι.

### Θεοτοκίον

Μὴ μόνον Μῆτερ ἀφήσῃς με,
ἐν ὥρᾳ τῆς φρικτῆς ἐξετάσεως,
ἀλλὰ παράστηθι,
πρὸς τὸν Υἱόν σου συνήγορος,

ψυχῆς μου τῆς ἀθλίας,
ἧς ὑπεράσπισαι.

᾿Ωιδὴ ζ'. ῾Ο εἱρμός.

Οὐκ ἐλάτρευσαν,
τῇ κτίσει οἱ θεόφρονες,
παρὰ τὸν Κτίσαντα,
ἀλλὰ πυρὸς ἀπειλήν,
ἀνδρείως πατήσαντες,
χαίροντες ἔψαλλον·
῾Υπερύμνητε,
ὁ τῶν πατέρων Κύριος,
καὶ Θεὸς εὐλογητός εἶ.

Τροπάρια

῾Ωμοιώθησαν,
ἐρήμου τὰ σκηνώματα,
ὡς πόλεις ὅσιε,
διὰ τῆς σῆς πατρικῆς,
μερίμνης ᾿Αντώνιε,
καὶ ἀνεβλάστησαν,
θείου Πνεύματος,
καρποὺς ἐξ ὧν μετέχομεν,
οἱ τρυφῶντες σου τοῦ βίου.

Νίκην ἔνδοξον,
ἐνίκησας ᾿Αντώνιε,
ὄφιν τρικέφαλον,
τὴν σάρκα κόσμον σατάν,
ποσὶν ὑποτάξας σου,
ὅθεν ὑπέδειξας,
πᾶσι τέκνοις σου,
τὸν τρόπον τῆς ἀθλήσεως,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ πολέμου θείαν τέχνην.

Θαῦμα μέγιστονπ
γραμμάτων ὁ ἀμέτοχος,
σοφοὺς κατῄσχυνας,
ὡς πάλαι πάτερ Μωσῆς,
Αἰγύπτου κατέβαλε τοὺς σοφιστὰς θεϊκῶς,
καὶ ἐπάρσεως,
τὸν Φαραὼ ἐπόντισας,
ταπεινώσεως θαλάσσῃ.

Θεοτοκίον

῾Ελεήμονα,
Θεὸν τεκοῦσα Πάναγνε,
αὐτὸν ἱκέτευε,
τοῦ ἐλεῆσαι ἡμᾶς,
ὑμνοῦντας τὴν χάριν σου,
ἐν ὥρᾳ κρίσεως,
ὅπως τύχωμεν,
ἀφέσεως οἱ τάλανες,
τῶν πολλῶν πλημμελημάτων.

᾿Ωιδὴ η'. ῾Ο εἱρμός.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ,
ὁ τόκος τῆς Θεοτόκου διεσώσατο,
τότε μὲν τυπούμενος,
νῦν δὲ ἐνεργούμενος,
τὴν οἰκουμένην ἅπασαν,
ἀγείρει ψάλλουσαν·
τὸν Κύριον,
ὑμνεῖτε τὰ ἔργα,
καὶ ὑπερυψοῦτε,
εἰς πάντας τοὺς αἰῶνας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Τροπάρια

Ἶδες ὀφθαλμοῖς τοῖς νοεροῖς σου,
μυστήρια πάτερ ἐπουράνια,
ἅπερ σοὶ ὑπέδειξεν,
ὁ ἀναπαυόμενος,
πραέων στερεώματι,
καὶ φιλιούμενος,
τοῖς καρδίαν,
καθαρὰν φυλάττουσι,
ἐκ δεινῶν λογισμῶν καὶ σκοτώσεως.

Ἔτρεξας ὡς τέκνον φιλομῆτορ,
Ἀντώνιε ὅτε ἐκινδύνευσεν,
δόγμα τὸ ὀρθόδοξον,
καὶ τοῖς θείοις λόγοις σου,
Ἀρείου φληναφήματα,
κενὰ ἀπέδειξας,
καὶ καρδίας,
τῶν πιστῶν ἐστήριξας,
ὡς πατρὶ πειθομένων σοι ὅσιε.

Πάγας διαβὰς τοῦ διαβόλου,
ἀπτώτως Ἀντώνιε μακάριε,
διὰ ταπεινώσεως,
ἥνπερ ὅπλον ἄριστον,
σοῖς μαθηταῖς παρέδωκας,
ἀποδεικνὺς τὸν ἐχθρόν,
ὡς στρουθίον,
ἐκ πιστῶν παιζόμενον,
τοῦ Χριστοῦ ἐπικλήσει καὶ χάριτι.

## Θεοτοκίον



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἄσκησιν τῶν τέκνων σου γλυκαίνεις,
Κυρία Ἁγνὴ Θεοχαρίτωτε,
ὡς τροφὸς φιλόστοργος,
δωρεὰς παρέχουσα,
τοῖς φιλοτίμως πράττουσιν,
Υἱοῦ σου θέλημα,
καὶ προθύμως,
αἴρουσι τῶν θλίψεων,
τὸν σταυρὸν δι᾽ ἀγάπην τοῦ Κτίσαντος.

Ὠιδὴ θ'. Ὁ εἱρμός.

Ἅπας γηγενής,
σκιρτάτω τῷ πνεύματι,
λαμπαδουχούμενος,
πανηγυριζέτω δέ,
ἀΰλων νόων,
φύσις γεραίρουσα,
τὴν ἱερὰν πανήγυριν,
τῆς Θεομήτορος,
καὶ βοάτω·
χαίροις Παμμακάριστε,
Θεοτόκε, Ἁγνὴ ἀειπάρθενε.

Τροπάρια

Τεῖχος ὀχυρόν,
εὐχὰς τὰς ἁγίας σου ὅσιε ἔχοντες,
οἱ ἐν τῷ σεμνείῳ σου,
ζῶντες ἐλπίζομεν ἐπιτεύξασθαι,
σκοποῦ δι᾽ ὃν ἐξήλθομεν,
καὶ μετασχεῖν τῆς Χριστοῦ,
θείας δόξης, ἔνθα σε παμπόθητε,
ἐποψόμεθα κατευφραινόμενον.

www.tezaurliturgic.ro



Ἕνωσιν νοός,
καρδίας τε δώρησαι,
πάτερ Ἀντώνιε,
τοῖς μικροῖς τεκνίοις σου,
καὶ θεῖον ζῆλον,
τήρησον ἄσβεστον,
ἵνα ἀγωνιζόμενοι,
τῆς συνειδήσεως,
μαρτυρίῳ, λάβωμεν τὰ ἔπαθλα,
ἃ Χριστὸς τοῖς πιστοῖς ἐπηγγείλατο.

Ῥῦσαι πειρασμῶν,
σὴν ποίμνην Ἀντώνιε,
καὶ ταύτην φύλαττε,
προσβολῶν ἀλάστορος,
καὶ πάσης βλάβης ἀδιαλώβητον·
σὲ γὰρ πλουτοῦντες μέγιστον,
μετὰ Θεὸν βοηθόν, καὶ προστάτην,
πρέσβυν προβαλλόμεθα,
πρὸς Αὐτὸν μοναστῶν στύλε πάμφωτε.

Θεοτοκίον

Ἅπας νοητός,
καὶ κόσμος φαινόμενος,
διὰ σὲ πέπλασται,
Μῆτερ Ἀειπάρθενε,
ὅπως σκηνώσῃ ἐν σοὶ ὁ Ὕψιστος,
καὶ πρωτοπλάστων πταίσματος,
ἡμᾶς λυτρώσηται·
ὅθεν ὕμνους, μέλπομεν καὶ ᾄσματα,
μεγαλύνοντες Μῆτερ τὴν δόξαν σου.

Στίχοι



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Τέσσαρσι κόσμου σημείοις ἐξελθοῦσα*
*φθογγή σου, Πάτερ, μονάζοντας εὐφραίνει.*
*Διὸ καὶ τοῦτον τὸν πτωχὸν δέξαι ὕμνον*
*ἀντιδωρούμενος ἡμῖν εὐλογίας.*

## ΗΧΟΣ Γ'.

**Κανὼν τρίτος, οὗ ἡ ἀκροστιχίς:**
*“Τρίτη ᾠδὴ ἱκέσιος Πατρὶ ἐρημοπολίτῃ.Ἀ(θανάσιος)”.*

Ὠιδὴ α'. Ὁ εἱρμός.

Ὁ τὰ ὕδατα πάλαι νεύματι θείῳ,
εἰς μίαν συναγωγὴν συναθροίσας,
καὶ τεμὼν θάλασσαν,
Ἰσραηλίτῃ λαῷ,
οὗτος ὁ Θεὸς ἡμῶν,
δεδοξασμένος ὑπάρχει·
αὐτῷ μόνῳ ᾄσωμεν,
ὅτι δεδόξασται.

Τροπάρια

Τετρωμένος ὑπάρχων ἀγάπης θείας,
τὴν ἔρημον ὡς φιλέρημος ὄρνις,
εἰληφὼς ὅσιε,
κατεκελάδεις Χριστῷ·
σὺ ζωή μου πέφυκας,
καὶ σωτηρία ψυχῆς μου,
διὸ ἱκετεύω σε,
σῶσόν με Δέσποτα.

Ῥήξας σύνδεσμον πάντα φιλοκοσμίας,

ἐσταύρωσαι δι᾽ ἀγάπην Κυρίου,
καὶ παθῶν ἔσβεσας,
πυρκαϊὰν σαῖς εὐχαῖς,
ὅσιε ᾿Αντώνιε,
Αἰγύπτου καύχημα μέγα, γενόμενος ἄριστος,
τύπος ἀσκήσεως.

῾Ιερῶς ὑποτάξας σαὐτὸν Δεσπότῃ,
ἐφύλαξας ἐντολὰς ζωηφόρους,
καὶ ψυχῆς ζέσει σου,
καθυπερέβης αὐτάς·
οὕτω γὰρ ἐγγίνεται,
τοῖς τὸν Θεὸν ἀγαπῶσι,
διὸ καὶ ἀπέλαβες,
θαυμάτων χάριτας.

Θεοτοκίον

Τὴν σκηνὴν τὴν ἁγίαν τὴν τετοκυῖαν,
τὸν Κύριον καὶ Δεσπότην τῶν πάντων
τὴν ἁγνὴν Δέσποιναν,
τὴν εὐεργέτιν ἡμῶν,
ἐν ᾠδαῖς καὶ ᾄσμασι,
πανευφροσύνως τιμῶμεν·
ἐλπὶς γὰρ ἀσάλευτος,
πιστοῖς κεχάρισται.

᾿Ωιδὴ γ'. ῾Ο εἱρμός.

῾Ο ἐκ μὴ ὄντων τὰ πάντα παραγαγών,
τῷ Λόγῳ κτιζόμενα,
τελειούμενα Πνεύματι,
Παντοκράτορ Δέσποτα,
ἐν τῇ ἀγάπῃ τῇ σῇ στερέωσόν με.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Τροπάρια

Ἡ τοῦ προσώπου σου ὄψις ἦν ἡ αὐτή,
θεόφρον Ἀντώνιε,
ὡς καὶ πρὸ τῆς ἀσκήσεως,
μαρτυροῦσα βλέπουσι,
τὴν δωρηθεῖσάν σοι χάριν ἐκ Κυρίου.

Ὡς εἰληφὼς ἰαμάτων τὴν δωρεάν,
τὰς νόσους ἐδίωκες,
ἐπικλήσει τοῦ Πνεύματος,
τῶν ἐξαιτουμένων σου,
καὶ τὴν ὑγείαν παρεῖχες τρυχομένοις.

Δαιμονικὰς ἐπηρείας ἐκ τῶν πιστῶν,
ἀπήλαυνες ὅσιε,
τὴν εἰρήνην δωρούμενος,
ἣν παρέχει Κύριος,
ἐγκατοικῶν μυστικῶς ψυχαῖς ἀνθρώπων.

## Θεοτοκίον

Ἣν ἀσωμάτων ἀγγέλων αἱ στρατιαί,
ἀεὶ μεγαλύνουσι,
καὶ ἐνθέως γεραίρουσι,
Θεοτόκον Δέσποιναν,
πιστοὶ ἀπαύστοις τιμήσωμεν ἐν ὕμνοις.

## Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὸν ὑπερθαύμαστον, βίον ζηλοῦντές σου,
πάτερ Ἀντώνιε, καθικετεύομεν·
δὸς τὴν ἀγάπην τοῦ Χριστοῦ,
σοῖς τέκνοις ἀδιασείστως·
καὶ Μονήν σου φύλαττε, ἐκ δαιμόνων ἀείποτε,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὅπως σοὶ προσάγωμεν, εὐχαρίστως τὴν αἴνεσιν,
βοῶντες ἐκ ψυχῆς καὶ καρδίας·
χαῖρε, τὸ καύχημα τῆς ἐρήμου.

## Ὠιδὴ δ'. Ὁ εἱρμός.

Ἔθου πρὸς ἡμᾶς κραταιὰν ἀγάπησιν Κύριε,
τὸν μονογενῆ γάρ σου Υἱόν,
ὑπὲρ ἡμῶν εἰς θάνατον δέδωκας·
διό σοι κραυγάζομεν εὐχαριστοῦντες,
δόξα τῇ δυνάμει σου.

## Τροπάρια

Ἴσος παλαιοῖς προφητῶν ἐφάνης Ὅσιε,
τὴν τοῦ Ἰησοῦ ἐγκαρτερῶν,
ἡμῖν πολλὴν δοθεῖσαν δύναμιν·
διό σοι ἡ ἄλογος φύσις ὑπετάγη,
εἰς δόξαν τοῦ Δεσπότου σου.
Κρίνεται οὐδεὶς τῶν πιστῶν ἐβόας Ἅγιε,
ὡς θαυματουργίας μὴ ποιῶν,
καὶ μὴ γινώσκων σαφῶς τὰ μέλλοντα,
ἀλλὰ ὁ προστάγματα Θεοῦ μὴ πράξας,
ἅπερ μεμαθήτευται.

Εἶχες ὡς καπνὸν τὸν χρυσὸν ὁμοῦ καὶ ἄργυρον,
ἅπερ ὁ ἐχθρὸς ἐν τῇ ὁδῷ,
πειραστικῶς σοι Πάτερ ἔδειξε·
διδάσκων τοῖς τέκνοις σου τὴν ἀκτησίαν,
ἤπερ τὸ πολύκτητον.

## Θεοτοκίον

Σῶμα τῷ Θεῷ Ἁγνὴ ἁγνῶς δανείσασα,
γέγονας σκηνὴ φωτοειδής,


ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῶν δὲ πιστῶν στεῤῥὸν ὀχύρωμα·
διό σοι κραυγάζομεν σὺν τῷ ᾿Αγγέλω,
Χαῖρε Νύμφη Πάναγνε.

## ᾿Ωιδὴ ε'. ῾Ο εἱρμός.

Πρὸς σὲ ὀρθρίζω,
τὸν τοῦ παντὸς Δημιουργόν,
τὴν ὑπερέχουσαν πάντα νοῦν εἰρήνην·
διότι φῶς τὰ προστάγματά σου,
ἐν οἷς με καθοδήγησον.

## Τροπάρια

῾Ιλέως Πάτερ,
τὸν τοῦ παντὸς Δημιουργόν,
ὑπὲρ ἡμῶν τῶν σῶν τέκνων δυσώπει,
διότι σοὶ τὰς ἡμῶν ἐλπίδας,
οἱ πάντες ἀνεθήκαμεν.

῾Ο νοῦς σου ὅλος,
προσεκολλήθη τῷ Χριστῷ,
τὴν ὑπερέχουσαν πάντα νοῦν εἰρήνην,
διὸ ἐδείχθης εἰρήνης οἶκος,
᾿Αντώνιε θεόσοφε.

Σφραγῖδα ἔχων,
ἀκαταμάχητον Σταυροῦ,
ἐπιτιθέμενον τὸν ἐχθρὸν καθεῖλες·
δεικνὺς τὴν δοθεῖσαν ἐκ Κυρίου,
ἰσχὺν πάτερ ᾿Αντώνιε.

## Θεοτοκίον

Πρὸς σὲ τὸ ὄμμα,

αἴρομεν Μῆτερ τῆς ψυχῆς,
τὴν τιθηνήσασαν Ποιητὴν τοῦ κόσμου,
διότι ἄλλην ἐλπίδα ὄντωςπ
οὐκ ἔχομεν οἱ δοῦλοί σου.

Ὠιδὴ στ΄. Ὁ εἱρμός.

Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν ἐκύκλωσέ με,
καὶ ἐκλείπει τὸ πνεῦμά μου·
ἀλλ᾽ ἐκτείνας Δέσποτα σὸν ὑψηλὸν βραχίονα,
ὡς τὸν Πέτρον με,
Κυβερνῆτα διάσωσον.

Τροπάρια

Ἄπιτε θαῤῥοῦντες ἐν τῷ σταυρῷ ἐφραγισμένοι,
τοὺς δειλιῶντας προέτρεπες·
τὸν ἐχθρὸν ἀδύνατον ὁ Κύριος ἀπέδειξε,
καὶ κατήργησε,
τὰ αὐτοῦ μηχανήματα.

Τάγματα δαιμόνων καὶ μορφὰς ἐναλλασσόντων,
οὐκ ἐφοβήθης Ἀντώνιε·
ἀλλ᾽ ἐκτείνων χεῖράς σου πρὸς τὸν Δεσπότην ἔκραζες·
ἐξανάστηθι,
καὶ βοήθει Φιλάνθρωπε.

Ῥήμασιν ἀγάπης παρακαλῶν ἐρχομένους σοι,
ἐξαπέστειλες χαίροντας·
ἐν αὐτοῖς γὰρ ἔβλεπες τὸν Ἰησοῦν Ἀντώνιε,
ὡς φιλάδελφος,
καὶ διηκόνεις τοῖς χρήζουσι.

Θεοτοκίον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἴαμα τραυμάτων καὶ τῶν ψυχῶν παραμυθία,
Θεοτόκε ἡ κλῆσίς σου·
ὅθεν πᾶσι Δέσποινα τοῖς σὲ φωνοῦσι πάρεσο,
εἰς ἀντίληψιν,
ἐν κινδύνοις καὶ θλίψεσι.

## Ὠιδὴ ζ'. Ὁ εἱρμός.

Ὡς πάλαι τοὺς εὐσεβεῖς τρεῖς Παῖδας ἐδρόσισας,
ἐν τῇ φλογὶ τῇ χαλδαϊκῇ,
τῷ φωτιστικῷ τῆς θεότητος πυρί,
καὶ ἡμᾶς καταύγασον·
εὐλογητὸς εἶ κράζοντας,
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

## Τροπάρια

Εὐθείας τὰς τρίβους τῆς ἐρημικῆς ὁδοῦ ἔδειξας πιστοῖς,
διὰ τῆς σῆς πάτερ βιοτῆς,
ἐνθεωτικῆς καὶ ἀγούσης πρὸς Χριστόν·
ὅθεν πλήθη εἵλκυσας,
εὐλογητὸς εἶ κράζοντα,
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ῥαγεῖσα σαῖς προσευχαῖς πρώην ἄγονος ἔρημος,
πολυτεκνεῖ νῦν ἐν τῷ Χριστῷ,
καὶ ἐγκαυχητικῶς ἄγει μοναστάς,
πρὸς ᾠδὴν θεόφρονα·
εὐλογητὸς εἶ Ἅγιε,
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἡ δρόσος τῶν σῶν εὐχῶν τοὺς ὄντας ἐν πταίσμασι,
ἐκ τῆς φλογὸς πάτερ ἐλεγμῶν,
τῷ εὐφραντικῷ καθωδήγησε φωτί,
καὶ πρὸς ὕμνον ἐξήγειρεν·


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

εὐλογητὸς εἶ Δέσποτα,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Θεοτοκίον

Μαρία τῶν εὐσεβῶν τὸν νοῦν κατεγλύκανας,
ἐν τῇ φωνῇ σου τῇ χαρμονικῇ,
ἣν ἀγγελικῶς σοὶ προσάγουσιν ἀεί,
ἐκ ψυχῆς καὶ μέλπουσιν·
εὐλογημένη Ἄχραντε,
ἡ Θεὸν δυσωποῦσα ἡμῖν.

Ὠιδὴ η'. Ὁ εἱρμός.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες,
οἱ θεοσεβείας προεστῶτες νεανίαι,
τῇ φλογὶ δὲ μὴ λωβηθέντες,
θεῖον ὕμνον ἔμελπον·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον,
καὶ ὑπερυψοῦτε,
εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια

Οὐδόλως προτέρους σου κόπους,
τοὺς ὑπὲρ Κυρίου ὑπελόγιζες θεόφρον,
τὸ δὲ πῦρ τῆς θείας ἀγάπης,
πάντοτε ὑπεδαύλιζες·
ἀλογεῖτε πάντων φθαρτῶν ἀνεκραύγαζες,
μόνον δὲ Δεσπότην,
θηρᾶτε ἐμὰ τέκνα.

Πρὸς ὥραν ὑπέστειλες πόνους,
φιλανθρωπικῶς ὡς οἰκονόμος Κυρίου,
μαθηταῖς ἐκδιδάσκων τοὺς τρόπους,


ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

δι᾽ ὧν ἔδει φέρεσθαι·
εὐλογεῖν δὲ Δεσπότην ἐν ἅπασι,
βίου μονοτρόπου,
ὡς δοῦλοι εὐχαρίστως.

Ὀνόματι Πάτερ Δεσπότου,
τῶν ἐκπεπτωκότων ἀπεδίωκες τὰ πλήθη,
καὶ αὐτῷ δὲ καλῶς μαθητῶν σου,
τὰς ψυχὰς ἐνίσχυες·
εὐλογεῖτε πάντες προτρέπων τὸν Κύριον,
τὸν ἐξαγαγόντα,
ἡμᾶς εἰς σωτηρίαν.

Θεοτοκίον

Λιμένα ψυχῶν σε εὑρόντες,
οἱ ἐν βίου ζάλαις ἐμπεσόντες Θεοτόκε,
δροσισμὸν δὲ ὥραις τῶν θλίψεων,
πόθῳ σε δοξάζομεν·
εὐλογεῖτε πάντες βοῶντες τὴν Πάναγνον,
τὴν λυτρωσαμένην,
ἡμᾶς ἐκ τῆς κατάρας.

Ὠιδὴ θ'. Ὁ εἱρμός.

Ἐν Σιναίῳ τῷ ὄρει κατεῖδέ σε,
ἐν τῇ βάτῳ Μωϋσῆς,
τὴν ἀφλέκτως τὸ πῦρ τῆς θεότητος,
συλλαβοῦσαν ἐν γαστρί·
Δανιὴλ δέ σε εἶδεν ὄρος ἀλατόμητον,
ῥάβδον βλαστήσασαν,
Ἠσαΐας κέκραγε,
τὴν ἐκ ῥίζης Δαβίδ.

Τροπάρια



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἱερεῖς ὁλοψύχως ἐτίμησας,
ὡς Κυρίου λειτουργούς,
καὶ ἐξῄτεις εὐχὰς τούτων Ὅσιε,
ὡς ἐλάχιστος πιστός·
τὴν ταπείνωσιν ὄντως Χριστοῦ ἐνδυσάμενος,
πάντας σου μείζονας,
ἐλογίζου μέγιστε,
ἀσκητῶν ἡ κρηπίς.

Τῶν Μαρτύρων ζηλῶν θείαν ἄθλησιν,
εἰς τὴν πόλιν καταβάς,
ζῆλον τούτων ὑπέκαιες Ἅγιε,
ὡς φιλότεκνος πατήρ,
μὴ τυχὼν δὲ καὶ σὺ ὡς ἐπόθεις ἀθλήσεως,
πάλιν ὑπέστρεψας,
εἰς τὴν φίλην ἔρημον,
συνειδήσει ἀθλῶν.

Ἡ καρδία σου πάτερ Ἀντώνιε,
τῶν δογμάτων ἦν βυθός,
Ὀρθοδόξων τὴν πίστιν στηρίζουσα,
ταῖς πρὸς Κύριον εὐχαῖς
καὶ ὁπόταν ἐφέστηκεν ὥρα ἡ κρίσιμος,
μάστιγξ χριστόπεμπτος,
ἀληθείας γέγονας,
κατ᾽ Ἀρείου δεινοῦ.

Θεοτοκίον

Ἄνοιξόν σου τὰ ὦτα Θεόνυμφε,
καὶ ἐπάκουσον ἡμῶν,
ἀσκουμένων ἐνθάδε καὶ πρόσωπον,
ἐκζητούντων σοῦ Υἱοῦ,
Ὅν δυσώπει ἀπαύστως συμπρέσβυν σου ἔχουσα,

θεῖον ᾿Αντώνιον,
τῆς ἐρήμου πρώτιστον,
ἀσκητὴν ἐν Χριστῷ.

*Στίχοι*

*Τρίτην ᾠδήν , ᾿Αντώνιε , δέχου ταύτην,*
*Τριάδα ἡμῖν μειλίσσων  παναγίαν.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ